ρίδια καὶ πέμψεις ἓν Κλήμεντι καὶ ἓν Γραπτῇ. πέμψει οὖν Κλήμης
εἰς τὰς ἔξω πόλεις· ἐκείνῳ γὰρ ἐπιτέτραπται· Γραπτὴ δὲ νουθετήσει
τὰς χήρας καὶ τοὺς ὀρφανούς. σὺ δὲ ἀναγνώσῃ εἰς ταύτην τὴν
πόλιν μετὰ τῶν πρεσβυτέρων τῶν προϊσταμένων τῆς ἐκκλησίας'. 10

Ὅρασις γ'.

1.2 I. Ὅρασιν εἶδον, ἀδελφοί, τοιαύτην. ²νηστεύσας πολλάκις
καὶ δεηθεὶς τοῦ κυρίου ἵνα μοι φανερώσῃ τὴν ἀποκάλυψιν, ἥν μοι
ἐπηγγείλατο δεῖξαι διὰ τῆς πρεσβυτέρας ἐκείνης, αὐτῇ τῇ νυκτί μοι
ὦπται ἡ πρεσβυτέρα καὶ εἶπέν μοι ,Ἐπεὶ οὕτως ἐνδεὴς εἶ καὶ σπου- 15
δαῖος εἰς τὸ γνῶναι πάντα, ἐλθὲ εἰς τὸν ἀγρόν, ὅπου χρονίζεις,

Vis. II, IV., 6—10. Origenes de princ. IV, 11. Opp. I, 168 sq. (Philolacal. I, 11) διὰ τοῦτο ἡμεῖς καὶ τὸ ἐν τῷ ὑπό τινων καταφρονουμένῳ βιβλίῳ, τῷ Ποιμένι, περὶ τοῦ προστάσσεσθαι τὸν Ἑρμᾶν δύο γράψαι βιβλία, καὶ μετὰ ταῦτα αὐτὸν ἀναγγέλλειν τοῖς πρεσβυτέροις τῆς ἐκκλησίας ἃ μεμάθηκεν ὑπὸ τοῦ πνεύματος οὕτω διηγούμεθα. ἔστι δὲ ἡ λέξις αὕτη· Γράψεις δύο βιβλία καὶ δώσεις ἓν Κλήμεντι καὶ ἓν Γραπτῇ. καὶ Γραπτὴ μὲν νουθετήσει τὰς χήρας καὶ τοὺς ὀρφανούς, Κλήμης δὲ πέμψει εἰς τὰς ἔξω πόλεις· σὺ δὲ ἀναγγελεῖς τοῖς πρεσβυτέροις τῆς ἐκκλησίας.

VI. 1. ταυτην S. v. p. ae. et edd., ταυτην (super την notato της) L.² 3. βιβλιον S. et edd., non obstante L.², ubi compendium. δεδωκα S. Hg.¹ Gh. F., ἔδωκα L.² ed. pr. Ti. 3. 4. πρεσβυτεροις S. v. ae. Hg.¹ Gh. F., πρώτοις L.² p. (prioribus ecclesiae) ed. pr. Ti. 4. πεποιηκας S^c. L.² et edd., εποιηκας S. 5. προσθεῖναι ed. pr. Hg.¹ Gh. F., προσθιναι S., προσθῆναι L.² Ti. 6. γνωρισθησεται S. Hg.¹ Gh. F., γνωσθήσεται L.², γνωσθήσονται ed. pr. Ti. γράψεις Clem. Al. S., et scribe p. ae., γραψεις ουν S^c. L.² v. et edd. 6. 7. βιβλαριδια S. Hg.¹ Gh. F., βιβλιδάρια L.² ed. pr. Ti. 7. Γραπτῇ Clem. Al. S^c. L.² v. p. ae. et edd., γαρπτη S. 8. επιτετραπται v. (permissum est) Hg.¹ Gh. F., επετρεπται S., επιτετρεπται S^a., ἐπιγέγραπται L.², p. (ut supra dictum est) ed. pr. Ti. 8. ἐκείνῳ—ἐπιτέτρ. om. ae. Γραπτὴ Clem. Al. S. L.² v. et edd., illi p., om. ae. νουθετήσει Clem. Al. S. v. et edd., νουθετησομένη fere L.², monebunt p., et docebunt ae. 9. σὺ Clem. Al. S. L.² (ubi superscr. νῦν) et edd. αναγνωση S. Hg.¹ Gh. F., ἀναγνώσεις L.² ed. pr. Ti. | ταυτην S. v. p. ae. Hg.¹ Gh. Ti., αὐτὴν L.² Ti.

Vis. III, I. 12. ὅρασιν L.² ed. pr. Ti. Hg.¹, ην (ἣν) S. Gh. F., visio quam vidi v. p. ae. | τοιαυτην S. L.² ed. pr. Ti. Hg.¹, τοιαύτη Gh. F., talis erat v. ae., talis est p. 13. ην μοι S. p. ae. Hg.¹ Gh. F., ἣν L.² v. ed. pr. Ti. 14. δια S. v. p. Ti. Hg.¹ Gh. F., om. L.² ed. pr. | ἐκείνης L.² (ubi ἐναντίον superscripto ἐκείνης) v. p. ae. et edd., om. S. | αὐτῇ S. v. p. ae. Hg.¹ Gh. F., om. L.² ed. pr. Ti. 14. 15. μοι ωπται S. Gh. F., ὤφθη μοι L.² ed. pr. Ti. Hg¹. 15. μοι S. v. p. ae. Hg.¹ Gh. F., om. L.² ed. pr. Ti. 15. 16. ενδεης ει και σπουδαιος εις S. v. p. ae. Hg.¹ Gh. F. (ἀναιδὴς pro ἐνδ.), ἐνδεὴς κ. σπ. εἰς L.² Ti. 16. τὸ γνωναι S. v. p. ae. Hg.¹ Gh, F., τὴν γνώμην L.² ed. pr., τοῦ γνῶναι Ti. | οπου χρονίζεις S. L.² ed. pr. Ti.

καὶ περὶ ὥραν πέμπτην ἐμφανισθήσομαί σοι καὶ δείξω σοι ἃ δεῖ σε ἰδεῖν‘. 3 ἠρώτησα αὐτὴν λέγων ‚Κυρία, εἰς ποῖον τόπον τοῦ ἀγροῦ; ‚Ὅπου‘, φησίν, ‚θέλεις‘. ἐξελεξάμην τόπον καλὸν ἀνακεχωρηκότα. πρὶν δὲ λαλῆσαι αὐτῇ καὶ εἰπεῖν τὸν τόπον λέγει μοι ‚Ἥξω ἐκεῖ ὅπου θέλεις‘. 4 ἐγενόμην οὖν, ἀδελφοί, εἰς τὸν ἀγρὸν καὶ συνεψήφισα τὰς ὥρας καὶ ἦλθον εἰς τὸν τόπον, ὅπου ἐταξάμην αὐτῇ ἐλθεῖν, καὶ βλέπω συμψέλλιον κείμενον ἐλεφάντινον, καὶ ἐπὶ τοῦ συμψελλίου ἔκειτο κερβικάριον λινοῦν, καὶ ἐπάνω λέντιον ἐξηπλωμένον λινοῦν καρπάσινον. 5 ἰδὼν ταῦτα κείμενα καὶ μηδένα ὄντα ἐν τῷ τόπῳ ἔκθαμβος ἐγενόμην, καὶ ὡσεὶ τρόμος με ἔλαβεν, καὶ αἱ τρίχες μου ὀρθαί· καὶ ὡσεὶ φρίκη μοι προσῆλθεν, μόνου μου ὄντος. ἐν ἐμαυτῷ οὖν γενόμενος καὶ μνησθεὶς τῆς δόξης τοῦ θεοῦ καὶ λαβὼν θάρσος θεὶς τὰ γόνατα ἐξωμολογούμην τῷ κυρίῳ πάλιν τὰς ἁμαρτίας μου ὡς καὶ πρότερον. 6 ἡ δὲ ἦλθεν μετὰ νεανίσκων ἕξ, οὓς καὶ πρότερον ἑωράκειν, καὶ ἐπεστάθη μοι καὶ κατηκροᾶτο προσευχομένου καὶ ἐξομολογουμένου τῷ κυρίῳ τὰς ἁμαρτίας μου. καὶ ἁψαμένη μου λέγει ‚Ἑρμᾶ, παῦσαι περὶ τῶν ἁμαρτιῶν σου πάντα ἐρωτῶν· ἐρώτα καὶ περὶ δικαιοσύνης, ἵνα λάβῃς μέρος τι ἐξαυτῆς εἰς τὸν οἶκόν σου‘. 7 καὶ ἐξεγείρει με τῆς χειρὸς καὶ ἄγει με πρὸς τὸ συμψέλλιον καὶ λέγει τοῖς νεανίσκοις ‚Ὑπάγετε καὶ οἰκοδομεῖτε‘. 8 καὶ μετὰ τὸ ἀναχωρῆσαι τοὺς νεανίσκους καὶ μόνων

Hg.¹ Lipsius (Jen. L. Z. 1878, 2), ubi vis (ὅπου φροντίζεις? Lipsius) v., ubi manes p., et sede ibi ae., οπου χονδριζεις S. Th. Zahn (Hirt d. Hermas p. 83), Gh. F. L 1. εμφανισθησομαι S. (ενφ.) Hg.¹ Gh. F., μέλω φανισθήσομαι L.² Ti. | σοι (sec.) S. v. p. ae. Hg.¹ Gh. F., om. L.². ed. pr. Ti. 2. αυτην S^c. L.² v. p. ae. et edd., αὐτὸν S. 4. αυτη S^c. v. p. Hg.¹ Gh. F., αὐτὴν S. L.² ed. pr. Ti. | τον S. ed. pr. Hg.¹ Gh. F., om. L.² Ti. ηξω S^c. L.² v. (p.) et edd., om. S. 6. συνεψηφισα S. v. p. (hora opportuna) Hg.¹ Gh. F., συνώψισα L.² ed. pr. Ti. 6. 7. εταξαμην αυτη ελθειν S^c. v. (constitueram) p. (promiseram) Hg.¹, διεταξαμην αυτη ελθειν S. Gh. F., αὐτῇ ἐλθεῖν ἔμελλε L.² ed. pr. Ti. 7. συμψέλλιον L.² Ti. Hg.¹ F., συμψελιον S. Gh. ἐδώλιον ed. pr. 8. συμψελλίου Ti. Hg.¹ F., συμψελιου S. Gh., Ψελλίου L.², ἐδωλίου ed. pr. λεντιō S. L.² (v. p.?) Gh. F., λεντίου ae. (illud) ed. pr. Ti. Hg.¹ 9. λινουν S. L.² v. Gh. F., λίνον ed. pr. Ti. Hg.¹ | καρπασινον (cf. Esth. I, 6) S. Hg.¹ Gh. F., καρπάσιον S^c. L.² Ti., κάρπασον ed. pr. ιδων S. v. (p.) ae. Hg.¹ Gh. F., ἰδὼν οὖν L.² ed. pr. Ti. 10. και ωσει S^c. L.² v. et edd., ωσει S. 12. εμαυτω S^{a.c} L.² et edd., εαυτω S. 13. ἐξωμολογούμην L.² et edd., εξομολογουμην S. | παλιν S. v. p. ae. Hg.¹ Gh. F., om. L.² ed. pr. Ti. 14.—16. ὡς καὶ πρότερον—τὰς ἁμαρτίας μου L.² v. ae. et edd., om. S. p. propter homœoteleuton. 15. ἕξ, οὓς v. et edd., ἐξ οὗ L.², οὓς ae. ἐπεστάθη μοι em. Hb. Gh. F., stetit post me v. ae., εσταθη μοι L.² ed. pr. Ti., ἐστάθη ὄπισθέν μου Hg.¹ 16. προσευχομενου L.² ed. pr. Ti. Hg.¹, προσευχομένου μου (v. ae.?) Ang. Gh. F. 17. και αψαμενη S^c. v. p. et edd., καὶ ἁψαμένου L.², αψαμενη S. λεγει S. L.² v. et edd., λέγει μοι S^c. p. ae. 18. παντα S. Hb. Gh. F., πάλιν L.² ed. pr. Ti., tantum v. ae., om. p., πάντοτε Hg.¹ (cf. Mand. II, 4. X, 3, 2, ubi πάντα et πάντοτε var. lectt.). fort. leg. ταῦτά, nam παντα et ταυτα permutantur, cf. Vis. V, 5, 5. ερωτων S. Hg.¹ Gh. F., ἐρωτῶ L.², ἐρωτᾶν ed. pr. Ti. 19. ἐξαυτῆς S. Hg.¹ Gh. F., ἐξ αὐτῆς v. p. ae. ed. pr. Ti., μετα σεαυτου S^c, ἐξ αὐτῆς μετὰ σεαυτοῦ L.² εξεγειρει S. Hg.¹ Gh. F., εξηγειρε L.² ed. pr. Ti. 20. προς S. v. p. ae. Hg.¹ Gh. F., εἰς L.² ed. pr. Ti. | συμψελλιον (cf. ad. l. 7. 8 notata.) 21. και μετα S. p. ae. Hg.¹ Gh. F., μετὰ L.² v. ed. pr. Ti. νιανισκους S. και (sec.) S. v. Hg.¹ Gh. F., om. p. ae. Ti.

ἡμῶν γεγονότων λέγει μοι ,Κάθισον ὧδε‘. λέγω αὐτῇ ,Κυρία, ἄφες
τοὺς πρεσβυτέρους πρῶτον καθίσαι‘. ,Ὃ σοι λέγω‘, φησίν, ,κάθισον‘.
9 [9]θέλοντος οὖν μου καθίσαι εἰς τὰ δεξιὰ μέρη οὐκ εἴασέν με, ἀλλ᾽
ἐννεύει μοι τῇ χειρί, ἵνα εἰς τὰ ἀριστερὰ μέρη καθίσω. διαλογιζο-
μένου μου οὖν καὶ λυπουμένου, ὅτι οὐκ εἴασέν με εἰς τὰ δεξιὰ 5
μέρη καθίσαι, λέγει μοι ,Λυπῇ, Ἑρμᾶ; ὁ εἰς τὰ δεξιὰ μέρη τόπος
ἄλλων ἐστίν, τῶν ἤδη εὐηρεστηκότων τῷ θεῷ καὶ παθόντων ἕνεκα
τοῦ ὀνόματος αὐτοῦ· σοὶ δὲ πολλὰ λείπει ἵνα μετ᾽ αὐτῶν καθίσῃς·
ἀλλ᾽ ὡς μένεις, τῇ ἁπλότητί σου ἔμμεινον καὶ καθιῇ μετ᾽ αὐτῶν
καὶ ὅσοι ἐὰν ἐργάσωνται τὰ ἐκείνων ἔργα καὶ ὑπενέγκωσιν ἃ καὶ 10
1 ἐκεῖνοι ὑπήνεγκαν‘. II. ,Τί‘, φημί, ,ὑπήνεγκαν‘; ,Ἄκουε‘, φησίν·
,μάστιγας, φυλακάς, θλίψεις μεγάλας, σταυρούς, θηρία ἕνεκα τοῦ
ὀνόματος τοῦ θεοῦ· διὰ τοῦτο ἐκείνων ἐστὶν τὰ δεξιὰ μέρη τοῦ
ἁγιάσματος, καὶ ὃς ἐὰν πάθῃ διὰ τὸ ὄνομα τοῦ θεοῦ· τῶν δὲ λοιπῶν
τὰ ἀριστερὰ μέρη ἐστίν. ἀλλὰ ἀμφοτέρων, καὶ τῶν ἐκ δεξιῶν καὶ 15
τῶν ἐξ ἀριστερῶν καθημένων, τὰ αὐτὰ δῶρα, καὶ αἱ αὐταὶ ἐπαγγελίαι·
2 μόνον ἐκεῖνοι ἐκ δεξιῶν κάθηνται καὶ ἔχουσιν δόξαν τινά. [2]σὺ δὲ
κατεπιθυμεῖς καθίσαι ἐκ δεξιῶν μετ᾽ αὐτῶν,ἀλλὰ τὰ ὑστερήματά σου
πολλά· καθαρισθήσῃ δὲ ἀπὸ τῶν ὑστερημάτων σου· καὶ πάντες δὲ

Vis. III, II. 13. 14. Clemens Alex. Strom. IV, 4, 15 p. 570: τυχεῖν τῶν δεξιῶν μερῶν τοῦ ἁγιάσματος. 6, 30 p. 576: ἐκ δεξιῶν ἵστανται τοῦ ἁγιάσματος.

I. 2. ο S. v. p. Hg.[1] Gh. F., ἃ L.[2] Ti., om. ae. 3. ουν S. v. p. Hg.[1] Gh. F., om. L.[2] Ti. καθισαι εις τα δεξια μερη S. Hg.[1] Gh. F., εἰς τὰ δ. μέρη καθίσαι L.[2] ed. pr. Ti. εἴασεν Gh. F., ιασέ S., εἴασε L.[2] ed. pr. Ti. Hg.[1] 3—5. ἀλλ᾽ ἐννεύει — εἴασέν με L.[2] S[a.c]. v. p. ae. et edd., om. S. propter homœoteleuton. 3. ἀλλ᾽ L.[2] v. p. et edd., et ae., om. S[a.c]. 4. εινα S[a]. καθισω S[a]. et edd., καθήσω L.[2] 4. 5. διαλογιζομενου S[a]. Hg.[1] Gh. F., λογιζομένου L.[2] ed. pr. Ti. 5. οὖν L.[2] v. et edd., autem p., om. S[a.c]. και λυπουμενου S[c]. L.[2] v. p. ae. et edd., om. S[a]. 6. μέρη S. Hg.[1] Gh. F., om. L.[2] ed. pr. Ti. 7. ευηρεστηκοτων L.[2] ed. pr. Ti. Hg.[1] F., ευαρεστηκοτων S.[1] Gh. | ἕνεκα v. ae., εινεκα S. Gh. F., ὑπερ S.[2] p. ed. pr. Ti. Hg.[1] 8. τοῦ ὀνόματος αὐτοῦ L.[2] v. p. ae., μου του ονοματος S., του ονοματος μου S[c]., τοῦ ὀνόματος Gh. F. λείπει L.[2] et edd., Λιπηι S. ex λιπει pr. m. (Gh.). 9. αλλ S. L.[2] ed. pr. Ti. Hg.[1], αλλα S[c]. Gh. F. μένεις S. (μενις) v. (manes) p. (manes) Hb., ενμενις S[c]., ἐμμένεις L.[2] et edd., si patiens fueris ae. σου S. v. p. Hg.[1] Gh. F., om. L.[2] ae. ed. pr. Ti. | ἔμμεινον v. (permanere) v. (permane) Hb., εμμινον S[c]., μινον S., μεῖζον L.[2], μεῖνον edd. | καθιη S. Gh. F., καθίσεις L.[2] ed. pr. Ti. Hg.[1] 10. εαν εργασωνται S. Gh. F., ἂν ἐργάσονται L.[2], ἂν ἐργάσωνται ed. pr. Ti. Hg.[1] | ὑπενέγκωσιν L.[2] et edd., ὑπενηγκ. S., ὑπηνεγκ. S[c]. και S. v. Hg.[1] Gh. F., om. L.[2] p. ae. ed. pr. Ti. 11. υπηνεγκαν S. ed. pr. Hg.[1] Gh. F., ὑπένεγκαν L.[2] Ti.

II. 11. ὑπήνεγκαν ed. pr. Hg.[1] Gh. F. υπηνεκκαν S., ὑπένεγκαν L.[2] Ti. 12. ἕνεκα L.[2] ed. pr. Ti. Hg.[1], εινεκεν S. Gh. F. 13. τοῦ θεοῦ L.[2] p. ed. pr. Ti. Hg.[1], eius v. ae., om. S. Gh. F. 14. δια το ονομα S. v. ae. Hg.[1] Gh. F., ita p., διὰ τοῦ ὀνόματος L.[2] ed. pr. Ti. τοῦ θεοῦ L.[2] v. ed. pr. Ti. Hg.[1], eius ae., om. S. Gh. F. 16. τῶν ἐξ v. ae. Ti. Hg.[1] Gh. F., των S. L.[2], ἐξ ed. pr. αυται S. p. Hg.[1] Gh. F., om. L.[2] ed. pr. Ti. 17. εχουσιν S. ed. pr. Hg.[1] Gh. F., ἔχωσι L.[2] Ti. τινα S[c] L.[2] et edd., τιναν S. 18. κατεπιθυμεῖς p. ae., κατεπιθυμις S., κατεπίθυμος εἶ L.[2] et edd. 19. παντες δε S[a] L.[2] et edd., παντες S.

οἱ μὴ διψυχοῦντες καθαρισθήσονται ἀπὸ πάντων τῶν ἁμαρτημάτων εἰς ταύτην τὴν ἡμέραν‘. [3]ταῦτα δὲ εἰποῦσα ἤθελεν ἀπελθεῖν· πεσὼν δὲ αὐτῆς πρὸς τοὺς πόδας ἠρώτησα αὐτὴν κατὰ τοῦ κυρίου, ἵνα μοι ἐπιδείξῃ ὃ ἐπηγγείλατο ὅραμα. [4]ἡ δὲ πάλιν ἐπελάβετό μου τῆς χειρὸς καὶ ἐγείρει με καὶ καθίζει ἐπὶ τὸ συμψέλλιον ἐξ εὐωνύμων· ἐκαθέζετο δὲ καὶ αὐτὴ ἐκ δεξιῶν. καὶ ἐπάρασα ῥάβδον τινὰ λαμπρὰν λέγει μοι ‚Βλέπεις μέγα πρᾶγμα‘; λέγω αὐτῇ ‚Κυρία, οὐδὲν βλέπω‘. λέγει μοι, ‚Σύ, ἰδοὺ οὐχ ὁρᾷς κατέναντί σου πύργον μέγαν οἰκοδομούμενον ἐπὶ ὑδάτων λίθοις τετραγώνοις λαμπροῖς‘; [5]ἐν τετραγώνῳ δὲ ᾠκοδομεῖτο ὁ πύργος ὑπὸ τῶν ἓξ νεανίσκων τῶν ἐληλυθότων μετ᾽ αὐτῆς· ἄλλαι δὲ μυριάδες ἀνδρῶν παρέφερον λίθους, οἱ μὲν ἐκ τοῦ βυθοῦ, οἱ δὲ ἐκ τῆς γῆς, καὶ ἐπεδίδουν τοῖς ἓξ νεανίσκοις. ἐκεῖνοι δὲ ἐλάμβανον καὶ ᾠκοδόμουν. [6]τοὺς μὲν ἐκ τοῦ βυθοῦ λίθους ἑλκομένους πάντας οὕτως ἐτίθεσαν εἰς τὴν οἰκοδομήν· ἡρμοσμένοι γὰρ ἦσαν καὶ συνεφώνουν τῇ ἁρμογῇ μετὰ τῶν ἑτέρων λίθων· καὶ οὕτως ἐκολλῶντο ἀλλήλοις, ὥστε τὴν ἁρμογὴν αὐτῶν μὴ φαίνεσθαι. ἐφαίνετο δὲ ἡ οἰκοδομὴ τοῦ πύργου ὡς ἐξ ἑνὸς λίθου ᾠκοδομημένη. [7]τοὺς δὲ ἑτέρους λίθους τοὺς φερομένους ἀπὸ τῆς ξηρᾶς τοὺς μὲν ἀπέβαλλον, τοὺς δὲ ἐτίθουν εἰς τὴν οἰκοδομήν· ἄλλους δὲ κατέκοπτον καὶ ἔρριπτον μακρὰν ἀπὸ τοῦ πύργου. [8]ἄλλοι δὲ λίθοι πολλοὶ κύκλῳ τοῦ πύργου ἔκειντο καὶ οὐκ ἐχρῶντο αὐτοῖς εἰς τὴν οἰκοδομήν· ἦσαν γάρ τινες ἐξ αὐτῶν ἐψωριακότες, ἕτεροι δὲ σχισμὰς ἔχοντες, ἄλλοι δὲ κεκολοβωμένοι, ἄλλοι δὲ λευκοὶ καὶ στρογγύλοι, μὴ ἁρμόζοντες εἰς τὴν οἰκο-

Vis. III, II. 16. 17. Origenes in Oseam (Opp. III, 439, Philocal. c. 8): καὶ ἐν τῷ Ποιμένι δὲ τὴν οἰκοδομὴν τοῦ πύργου διὰ πολλῶν μὲν λίθων οἰκοδομουμένην, ἐξ ἑνός δὲ λίθου φαινομένην εἶναι τὴν οἰκοδομήν, τί ἄλλο ἢ τὴν ἐκ πολλῶν συμφωνίαν καὶ ἑνότητα σημαίνει ἡ γραφή; Didymus in catena ad Iob. VIII, 17. 18: οὐχ ἁρμόζουσι τῇ οἰκοδομῇ τοῦ πύργου κατὰ τὸν Ποιμένα.

II. 1. διψυχοῦντες L.[2] et edd., διψυχουσταις S., διψυχονταις S[c]. | παντων S. v. p. ae. Hg.[1] Gh. F., om. L.[2] ed. pr. Ti. | αμαρτηματων S. v. p. Gh. F., ἁμ. αὐτῶν L.[2] ae. ed. pr. Ti. Hg.[1] 2. δὲ εἰποῦσα L.[2] v. p. ed. pr. Ti. Hg.[1], ειπασα S. ae. Gh. F. 3. αυτης S. L.[2] p. et edd., αὐτῇ v. ae. 5. μου της χειρος S. Hg.[1] Gh. F., τῆς χειρός μου S.[2] ed. pr. Ti. | εγειρει S. Hg.[1] Gh. F., ἤγειρε L.[2] ed. pr. Ti. | συμψέλλιον, ut p. 13, 7 sq. 6. εκαθεζετο S. Hg.[1] Gh. F., καθέζεται L.[2] ed. pr. Ti. 7. μεγα πραγμα S. v. p. ae. Hg.[1] Gh. F., μετὰ πράγματα L.[2], μεγάλα πρ. ed. pr. Ti. 8. λεγει μοι συ S. v. p. ae. Hg.[1] Gh. F., om. L.[2] ed. pr. Ti. | ουχ ορας S. v. p. ae. et edd., ὁ χῶρος L.[2] 9. οικοδομουμενον S. ed. pr. Hg.[1] Gh. F., ᾠκοδομούμενον L.[2] Ti. | επι S. Hg.[1] Gh. F., ἐπ᾽ L.[2] Ti., ἐφ᾽ ed. pr. λαμπροις S[c] L.[2] v. p. ae. et edd., λαμπρος S. 10. δε S. v. p. Hg.[1] Gh. F., τε L.[2] Ti., γὰρ ed. pr. ᾠκοδομεῖτο Hg.[1] Gh. F., ωκοδομιτο S., ᾠκοδόμητο L.[2] ed. pr. Ti. εξ S[c] L.[2] v. p. ae. et edd., εξηκοντα S. 12. λιθους S. Hg.[1] Gh. F., τοὺς λίθους L.[2] ed. pr. Ti. 13. εξ S[c] v. p. ae. Hg.[1] Gh. F., εξηκοντα S., om. L.[2] ed. pr. Ti. ᾠκοδόμουν L.[2] et edd., οἰκοδόμουν S. 17. αὐτῶν L.[2] v. p. et edd., αυτην S. 19. τους μεν — τους δε S. Hg.[1] Gh. F., οὓς μὲν — οὓς δὲ L.[2] ed. pr. Ti. 20. κατέκοπτον L.[2] et edd., κατεκοπταν S. | ἔρριπτον L.[2] v. p. ae. et edd., ετιθουν S. 21. ἄλλοι — ἔκειντο L.[2] p. (om. circa turrim) ae. (om. λίθοι) et edd., οι εκιντο S. 22. εις S[c] L.[2] et edd., επι S. 23. σχιμας S. | κεκολωβωμένοι L.[2] 24. στρογγιλοὶ L.[2]

6 δομήν. [9]ἔβλεπον δὲ ἑτέρους λίθους ῥιπτομένους μακρὰν ἀπὸ τοῦ πύργου καὶ ἐρχομένους εἰς τὴν ὁδὸν καὶ μὴ μένοντας ἐν τῇ ὁδῷ, ἀλλὰ κυλιομένους ἐκ τῆς ὁδοῦ εἰς τὴν ἀνοδίαν· ἑτέρους δὲ ἐπὶ πῦρ ἐμπίπτοντας καὶ καιομένους· ἑτέρους δὲ πίπτοντας ἐγγὺς ὑδάτων καὶ μὴ δυναμένους κυλισθῆναι εἰς τὸ ὕδωρ, καίπερ θελόντων 5 κυλισθῆναι καὶ ἐλθεῖν εἰς τὸ ὕδωρ.

1 III. Δείξασά μοι ταῦτα ἤθελεν ἀποτρέχειν. λέγω αὐτῇ ‚Κυρία, τί μοι ὄφελος ταῦτα ἑωρακότι καὶ μὴ γινώσκοντι τί ἔστιν τὰ πράγματα‘; ἀποκριθεῖσά μοι λέγει ‚Πανοῦργος εἶ ἄνθρωπος, θέλων γινώσκειν τὰ περὶ τὸν πύργον‘. ‚Ναί‘, φημί, ‚κυρία, ἵνα τοῖς ἀδελ- 10 φοῖς ἀναγγείλω, καὶ ἱλαρώτεροι γίνωνται καὶ ταῦτα ἀκούσαντες 2 γινώσκωσιν τὸν κύριον ἐν πολλῇ δόξῃ‘. [2]ἡ δὲ ἔφη ‚Ἀκούσονται μὲν πολλοί· ἀκούσαντες δέ τινες ἐξ αὐτῶν χαρήσονται, τινὲς δὲ κλαύσονται· ἀλλὰ καὶ οὗτοι, ἐὰν ἀκούσαντες μετανοήσωσιν, καὶ αὐτοὶ χαρήσονται. ἄκουε οὖν τὰς παραβολὰς τοῦ πύργου· ἀπο- 15 καλύψω γάρ σοι πάντα. καὶ μηκέτι μοι κόπους πάρεχε περὶ ἀποκαλύψεως· αἱ γὰρ ἀποκαλύψεις αὗται τέλος ἔχουσιν· πεπληρωμέναι γάρ εἰσιν. ἀλλ᾽ οὐ παύσῃ αἰτούμενος ἀποκαλύψεις· ἀναιδὴς γὰρ 3 εἶ. [3]ὁ μὲν πύργος, ὃν βλέπεις οἰκοδομούμενον, ἐγώ εἰμι ἡ Ἐκκλησία ἡ ὀφθεῖσά σοι καὶ νῦν καὶ τὸ πρότερον· ὃ ἂν οὖν θέλησῃς, 20 ἐπερώτα περὶ τοῦ πύργου, καὶ ἀποκαλύψω σοι, ἵνα χαρῇς μετὰ τῶν 4 ἁγίων‘. [4]λέγω αὐτῇ ‚Κυρία, ἐπεὶ ἅπαξ ἄξιόν με ἡγήσω τοῦ πάντα μοι ἀποκαλύψαι, ἀποκάλυψον‘. ἡ δὲ λέγει μοι ‚Ὃ ἐὰν ἐνδέχηταί

Vis. III, III. 23. Clemens Alex. Strom. II, 1, 3 p. 430: φησὶ γὰρ ἐν τῷ ὁράματι τῷ Ἑρμᾷ ἡ δύναμις ἡ φανεῖσα· ‚Ὃ ἐὰν ἐνδέχηταί σοι ἀποκαλυφθῆναι, ἀποκαλυφθήσεται‘.

II. 1. ριπτομενους S. ed. pr. Hg.[1] Gh. F., τοὺς ῥιπτομένους L.[2] Ti. 2. τὴν ὁδὸν L.[2] v. p. ae. et edd., το αυτο S. 3. ἐκ τῆς ὁδοῦ L.[2] v. (p.) et edd., om. S. ae. 3. 4. επι πυρ εμπιπτοντας S. (ενπ.) Hg.[1] Gh. F., ἐπὶ πυρὸς ἐκπίπτοντας L.[2] ed. pr. Ti. 4. καὶ καιομένους — πίπτοντας S[a] (cuius εμπιπτοντας iam S[c] mutavit in πιπτοντας) L.[2] v. p. (qui nonnulla om.) ae. et edd., om. S. 5. 6. καιπερ — υδωρ S. (ubi pro εκκυλισθηναι S[c] posuit κυλισθηναι) v. p. ae. Hg.[1] Gh. F., om. L.[2] propter homoeoteleuton.
III. 7. δείξασα S. Hg.[1] Gh. F., δείξας δὲ L.[2] p., δείξασα δὲ Ti. 7. 8. ἤθελεν — τι εστιν S. (ubi ωφελος) v. p. ae. Hg.[1] Gh. F., om. L.[2] Ti. 9. ανθρωπος S[c]. v. p. ae., ανθρωπε S. L.[2] et edd. 10. ναι S. v. p. ae. et edd., καὶ L.[2] 11. καὶ ἱλαρώτεροι γίνωνται καὶ ταῦτα L.[2] (γινονται) v. p. (ed. pr.) Ti. (γινονται) Gh. F., om. S. ae. Hg.[1] 12. γινώσκωσι v. p. ae. ed. pr. Hg.[1] Gh. (-σιν) F. (-σιν), γινωσκουσιν S., -ουσι L[2]. κυριον S. v. p. Hg.[1] Gh. F., θεόν L.[2] ed. pr. Ti. 12. ἡ δὲ L.[2] v. p. et edd., om. S. 14. οὗτοι L.[2] v. p. ae. et edd., αυτοι S. ἀκούσαντες L.[2] v. ae. ed. pr. Ti., ακουσωσιν και S. p. Hg.[1] Gh. F. 14. 15. και αυτοι S[c]. L.[2] v. p. et edd., om. S. 16. γαρ σοι S. Hg.[1] Gh. F., σοι γὰρ τὰ L.[2] ed. pr. Ti. 17. πεπληρωμεναι S[c]. L.[2] et edd., επληρωμενε S. 18. αποκαλυψεις S[c]. L.[2] v. ae. et edd., αποκαλυψειν S. (p.) 19. ο μεν πυργος S. v. p. ae. Gh. F., τὸν μὲν πύργον ed. pr. Ti. Hg.[1] οικοδομουμενον S. ed. pr. Hg.[1] Gh. F., οἰκοδομημένον L.[2] Ti. 20. αν S. Hg.[1] Gh, F., ἐὰν L.[2] ed. pr. Ti. θελησῃς S. Gh. F., θέλῃς L.[2] ed. pr. Ti. Hg.[1] 21. μετα S[c]. L.[2] et edd., με S. 23. μοι (pr.) S. v. p. Hg.[1] Gh. F., om. L.[2] ed. pr. Ti. λέγει μοι L.[2] v. p. ae. et edd., λέγει S. | ἐνδέχηται Clem. Al. S[a.c.] ed. pr. Hg.[1] Gh. F., ἐνδέχεται L.[2] Ti., δεχητε S.

σοι ἀποκαλυφθῆναι, ἀποκαλυφθήσεται. μόνον ἡ καρδία σου πρὸς
τὸν θεὸν ἤτω καὶ μὴ διψυχήσῃς ὃ ἂν ἴδῃς‘. [5]ἐπηρώτησα αὐτήν 5
‚Διὰ τί ὁ πύργος ἐπὶ ὑδάτων ᾠκοδόμηται, κυρία‘; ‚Εἶπά σοι‘, φησίν,
‚καὶ τὸ πρότερον· Πανοῦργος εἶ περὶ τὰς ἐκζητήσεις· ἐπιμελῶς ἐκ- Mt. VII, 7. Luc. XI, 9.
5 ζητῶν οὖν εὑρήσεις τὴν ἀλήθειαν. διὰ τί οὖν ἐπὶ ὑδάτων ᾠκοδό-
μηται ὁ πύργος, ἄκουε· ὅτι ἡ ζωὴ ὑμῶν διὰ ὕδατος ἐσώθη καὶ
σωθήσεται. τεθεμελίωται δὲ ὁ πύργος τῷ ῥήματι τοῦ παντοκρά-
τορος καὶ ἐνδόξου ὀνόματος, κρατεῖται δὲ ὑπὸ τῆς ἀοράτου δυνά-
μεως τοῦ δεσπότου.‘ IV. ἀποκριθεὶς λέγω αὐτῇ ‚Κυρία, μεγάλως 1
10 καὶ θαυμαστῶς ἔχει τὸ πρᾶγμα τοῦτο. οἱ δὲ νεανίσκοι οἱ ἕξ οἱ
οἰκοδομοῦντες τίνες εἰσίν, κυρία‘; ‚Οὗτοί εἰσιν οἱ ἅγιοι ἄγγελοι τοῦ
θεοῦ, οἱ πρῶτοι κτισθέντες, οἷς παρέδωκεν ὁ κύριος πᾶσαν τὴν
κτίσιν αὐτοῦ, αὔξειν καὶ οἰκοδομεῖν καὶ δεσπόζειν τῆς κτίσεως
πάσης. διὰ τούτων οὖν τελεσθήσεται ἡ οἰκοδομὴ τοῦ πύργου‘.
15 [2]‚Οἱ δὲ ἕτεροι οἱ παραφέροντες τοὺς λίθους τίνες εἰσίν‘; ‚Καὶ αὐτοὶ 2
ἅγιοι ἄγγελοι τοῦ θεοῦ· οὗτοι δὲ οἱ ἕξ ὑπερέχοντες αὐτούς εἰσιν.
συντελεσθήσεται οὖν ἡ οἰκοδομὴ τοῦ πύργου, καὶ πάντες ὁμοῦ
εὐφρανθήσονται κύκλῳ τοῦ πύργου καὶ δοξάσουσιν τὸν θεόν, ὅτι
ἐτελέσθη ἡ οἰκοδομὴ τοῦ πύργου‘. [3]ἐπηρώτησα αὐτὴν λέγων 3
20 ‚Κυρία, ἤθελον γνῶναι τῶν λίθων τὴν ἔξοδον καὶ τὴν δύναμιν
αὐτῶν, ποταπή ἐστιν‘. ἀποκριθεῖσά μοι λέγει ‚Οὐχ ὅτι σὺ ἐκ πάντων
ἀξιώτερος εἶ ἵνα σοι ἀποκαλυφθῇ — ἄλλοι γάρ σου πρότεροί εἰσι
καὶ βελτίονές σου, οἷς ἔδει ἀποκαλυφθῆναι τὰ ὁράματα ταῦτα —,

III. 1. σοι ἀποκαλυφθῆναι Clem. Al. S. Hg.[1] Gh. F., ἀποκαλυφθήσῃ σοι L.[2], ἀποκαλυφθῆναί σοι ed. pr. Ti. | προς L.[2] v. p. ae. et edd., περι S. 2. διψυχήσῃς L.[2] ed. pr. Ti. Hg.[1], διψυχήσεις S. Gh. F. | αν S. Gh. F., ἐὰν L.[2] ed. pr. Ti. Hg.[1] 3. επι S. Gh. F., ἐφ' L.[2] ed. pr. Ti. Hg.[1] | ειπα S. Gh. F., εἶπον L.[2] ed. pr. Ti. Hg.[1] 4. 5. Πανοῦργος εἶ περὶ τὰς ἐκζητήσεις· ἐπιμελῶς οὖν ἐκζητῶν εὑρήσεις τὴν ἀλήθειαν scripsi, Πανοῦργος εἶ περὶ τὰς γραφάς, καὶ ἐκζητήσεις ἐπιμελῶς· ἐκζητῶν οὖν εὑρήσεις τὴν ἀλήθειαν L.[2] (ubi ἐκζητήσεις quasi futurum cum ἐπιμελῶς coniunctum inepta illa τὰς γραφὰς καὶ poposcisse videtur) Ti. F. (εὑρίσκεις), versutum te esse circa scripturas, diligenter inquirens igitur invenies veritatem v. (iam γραφὰς pro ἐκζητήσεις), και εκζητις επιμελως επιζητων ουν ευρισκεις την αληθειαν S. (iam mutato ἐκζητήσεις in ἐκζητεῖς) p. (et tu quæris diligenter; ergo requirens invenis veritatem) ae. (et ecce examinas; inquirens veritatem invenies), καὶ ἐκζητεῖς ἐπιμελῶς. ἐκζητῶν οὖν εὑρήσεις τὴν ἀλήθειαν Hg.[1] Gh. (εὑρίσκεις), ὅτι ἐκζητεῖς ἐπιμελῶς κτλ. Hb., περίεργος pro πανοῦργος proposuit Lipsius. 5. επι S. Gh. F., εφ' L.[2] ed. pr. Ti. Hg.[1] 6. ακουε S. Hg.[1] Gh. F., ἄκουσον L.[2] ed. pr. Ti. | υμων S. v. p. ae. et edd., ἡμῶν L.[2] | δια S. Gh. F., δι' L.[2] ed. pr. Ti. Hg.[1] 8. ἀορατου S[a.c.] L.[2] et edd., αωρατου S.

IV. 9. λεγω S. v. p. ae. Hg.[1] Gh. F., δὲ λέγω L.[2] ed. pr. Ti. | κυρια S. p. ae. Hg.[1] Gh. F., om. L.[2] v. ed. pr. Ti. 10. εξ S[c] L.[2] v. p. et edd., εξηκοντα S., om. ae. 10. 11. οι οικοδομουντες S. et edd., οἰκοδομοῦντες L.[2] 10. κυρια S. v. Gh. F., ἡ δὲ ἔφη L.[2] p. ae. ed. pr. Ti. Hg.[1] 14. οὖν L.[2] v. p. (ae.) ed. pr. Ti. Gh. F., om. S. Hg.[1] 16. εξ S. L.[2] p. et edd., om. S[a]. v. ae. | αυτους S. (v.) Gh. F., αὐτῶν L.[2] ed. pr. Ti. Hg.[1] 20. εξοδον S. v. p. ae. Hg.[1] Gh. F., διαφορὰν L.[2] ed. pr. Ti. 21. αυτων S. v. p. (ae.) Hg.[2] Gh. F., om. L.[2] ed. pr. Ti. | εκ S. v. p. ae. Hg.[1] Gh. F., om. L.[2] ed. pr. Ti. 22. σου S[a.c.] L.[2] v. p. ae. et edd., om. S. 23. βελτιονες σου S. v. p. Hg.[1] Gh. F., βελτίονες L.[2] ae., βελτίους ed. pr. Ti.

ἀλλ' ἵνα δοξασθῇ τὸ ὄνομα τοῦ θεοῦ, σοὶ ἀπεκαλύφθη καὶ ἀποκαλυφθήσεται διὰ τοὺς διψύχους τοὺς διαλογιζομένους ἐν ταῖς καρδίαις αὐτῶν, εἰ ἄρα ἔστι ταῦτα ἢ οὐκ ἔστιν. λέγε αὐτοῖς ὅτι ταῦτα πάντα ἐστὶν ἀληθῆ, καὶ οὐθὲν ἔξωθέν ἐστιν τῆς ἀληθείας,
1 ἀλλὰ πάντα ἰσχυρὰ καὶ βέβαια καὶ τεθεμελιωμένα ἐστίν. V. ἄκουε νῦν περὶ τῶν λίθων τῶν ὑπαγόντων εἰς τὴν οἰκοδομήν. οἱ μὲν οὖν λίθοι οἱ τετράγωνοι καὶ λευκοὶ καὶ συμφωνοῦντες ταῖς ἁρμογαῖς αὐτῶν, οὗτοί εἰσιν οἱ ἀπόστολοι καὶ ἐπίσκοποι καὶ διδάσκαλοι καὶ διάκονοι οἱ πορευθέντες κατὰ τὴν σεμνότητα τοῦ θεοῦ καὶ ἐπισκοπήσαντες καὶ διδάξαντες καὶ διακονήσαντες ἁγνῶς καὶ σεμνῶς τοῖς ἐκλεκτοῖς τοῦ θεοῦ, οἱ μὲν κεκοιμημένοι, οἱ δὲ ἔτι ὄντες. καὶ πάντοτε ἑαυτοῖς συνεφώνησαν καὶ ἐν ἑαυτοῖς εἰρήνην ἔσχον καὶ ἀλλήλων ἤκουον· διὰ τοῦτο ἐν τῇ οἰκοδομῇ τοῦ πύργου συμ-
2 φωνοῦσιν αἱ ἁρμογαὶ αὐτῶν'. [2],Οἱ δὲ ἐκ τοῦ βυθοῦ ἑλκόμενοι καὶ ἐπιτιθέμενοι εἰς τὴν οἰκοδομὴν καὶ συμφωνοῦντες ταῖς ἁρμογαῖς αὐτῶν μετὰ τῶν ἑτέρων λίθων τῶν ἤδη ᾠκοδομημένων τίνες εἰσίν';
3 Οὗτοί εἰσιν οἱ παθόντες ἕνεκεν τοῦ ὀνόματος τοῦ κυρίου.' [3],Τοὺς δὲ ἑτέρους λίθους τοὺς φερομένους ἀπὸ τῆς ξηρᾶς θέλω γνῶναι τίνες εἰσίν, κυρία.' ἔφη ,Τοὺς μὲν εἰς τὴν οἰκοδομὴν ὑπάγοντας καὶ μὴ λατομουμένους, τούτους ὁ κύριος ἐδοκίμασεν, ὅτι ἐπορεύθησαν ἐν τῇ εὐθύτητι τοῦ κυρίου καὶ κατωρθώσαντο τὰς ἐντολὰς

Vis. III, IV., 1—3. Clemens Alex. Strom. I, 29, 181 p. 426: θείως τοίνυν ἡ δύναμις ἡ τῷ Ἑρμᾷ κατὰ ἀποκάλυψιν λαλοῦσα ,Τὰ ὁράματα', φησί, ,καὶ τὰ ἀποκαλύμματα διὰ τοὺς διψύχους τοὺς διαλογιζομένους ἐν ταῖς καρδίαις αὐτῶν, εἰ ἄρα ἔστι ταῦτα ἢ οὐκ ἔστιν'.

IV. 1. σοὶ L.[2] v, p. ae. et edd., om. S. | απεκαλυφθη και S[c]. v. p. Gh. F., ἀπεκαλύφθη καὶ ἔτι L.[2] ed. pr. Ti. Hg.[1], om. S. 3. εἰ ἄρα ἔστιν ταῦτα ἢ οὐκ ἔστιν Clem. Al. S[a]. (εστι ταυτα ει) v. p. ae. Hb. Gh. (ἔστιν pr. l.) F. (ut Gh.), εἰ ἄρα ἔσται ταῦτα ἢ οὐκ ἔσται L.[2] ed. pr. Ti. Hg.[1] . 4. εστιν αληθη S. Hg.[1] Gh. F., ἀληθῆ ἐστί L.[2] ed. pr. Ti. | ουθεν S. Gh. F., οὐδὲν L.[2] ed. pr. Ti. Hg.[1]. εξωθεν εστιν S. Hg.[1] Gh. F., ἐστὶν ἔξωθεν L.[2] ed. pr. Ti. 5. παντα S. v. p. ae. Hg.[1] Gh. F., ταῦτα L.[2] ed. pr. Ti.

V. 6. νῦν S. v. p. ae. Hg.[1] Gh. F., οὖν L.[2] ed. pr. Ti. 7. λευκοι S. L.[2] v. (albi, non candidi, ut Hb. opinatus est) p. ae. et edd., λαμπροὶ (cf. c. II. p. 15, 9) Hb. 9. και διακονοι S. v. p. Hg.[1] Gh. F., om. L.[2] ae. Lipsius (Zeitschr. f. wiss. Theol. 1866. I. p. 72). | σεμνοτητα S. v. (p. ae.) Hg.[1] Gh. F., σεμνὴν διδασκαλίαν L.[2] (superscr. στενὴν ὁδόν) ed. pr. Ti. 11. τοις εκλεκτοις του θεου S. v. ae. Hg.[1] Gh. F., τοῖς δούλοις τοῦ θεοῦ τὸν λόγον L.[2] ed. pr. Ti. 12. και παντοτε S. v. p. ae. Hg.[1] Gh. F., πάντοτε L.[2] ed. pr. Ti. | ἑαυτοῖς (pr.) L.[2] p. (ae.) et edd. αυτοις S. v. | συνεφωνησαν L.[2] v. ae. et edd., συμφωνησαντες S. p. | ἔσχον L.[2] et edd., εσχαν S. p. 13. και αλληλων ηκουον δια τουτο S[a]. v. p. ae. Gh. F., καὶ ἀλλήλων ἤκουσαν· διὰ τοῦτο L.[2] ed. pr. Ti. Hg.[1], το S. 15. εἰς τὴν οἰκοδομὴν L.[2] v. p. ae. et edd., om. S. 15. 16. ταῖς ἁρμογαῖς αὐτῶν S. v. p. ae. Hg.[1] Gh. F., om. L.[2] ed. pr. Ti. 16. ᾠκοδομημένων L.[2] v. ae. et edd., οἰκοδομουμένων S. (p.?). 17. παθοντες S. p. ae. Hg.[1] Gh. F., κεκοιμημένοι καὶ παθόντες L.[2] v. ed. pr. Ti. | ενεκεν S. Hg.[1] Gh. F., ἕνεκα L.[2] ed. Ti. | κυρίου L.[2] v. p. et edd., θῦ S. 17—21. τους δε ετερους λιθους — ευθυτητι του κυριου S. (l. 18 επι, S[c]. em. απο) v. p. ae. Hg.[1] Gh. F., om. L.[2] 21. κατωρθώσαντο Gh. F., κατορθωσαντο S., κατώρθωσαν L.[2] Ti. Hg.[1].

αὐτοῦ.‘ [4],Οἱ δὲ ἀγόμενοι καὶ τιθέμενοι εἰς τὴν οἰκοδομὴν τίνες 4
εἰσίν‘; ,Νέοι εἰσὶν ἐν τῇ πίστει καὶ πιστοί. νουθετοῦνται δε ὑπὸ
τῶν ἀγγέλων εἰς τὸ ἀγαθοποιεῖν, διότι οὐχ εὑρέθη ἐν αὐτοῖς πο-
νηρία.‘ [5],Οὓς δὲ ἀπέβαλλον καὶ ἐρίπτουν, τίνες εἰσίν‘; ,Οὗτοί 5
5 εἰσιν οἱ ἡμαρτηκότες καὶ θέλοντες μετανοῆσαι· διὰ τοῦτο μακρὰν
οὐκ ἀπερίφησαν ἔξω τοῦ πύργου, ὅτι εὔχρηστοι ἔσονται εἰς τὴν
οἰκοδομήν, ἐὰν μετανοήσωσιν. οἱ οὖν μέλλοντες μετανοεῖν, ἐὰν
μετανοήσωσιν, ἰσχυροὶ ἔσονται ἐν τῇ πίστει, ἐὰν νῦν μετανοήσωσιν,
ἐν ᾧ οἰκοδομεῖται ὁ πύργος. ἐὰν δὲ τελεσθῇ ἡ οἰκοδομή, οὐκέτι
10 ἔχουσιν τόπον, ἀλλ᾽ ἔσονται ἔκβολοι. μόνον δὲ τοῦτο ἔξουσιν,
ὅτι παρὰ τῷ πύργῳ κεῖνται. VI. τοὺς δὲ κατακοπτομένους καὶ 1
μακρὰν ῥιπτομένους ἀπὸ τοῦ πύργου θέλεις γνῶναι; οὗτοί εἰσιν οἱ
υἱοὶ τῆς ἀνομίας· ἐπίστευσαν δὲ ἐν ὑποκρίσει, καὶ πᾶσα πονηρία
οὐκ ἀπέστη ἀπ᾽ αὐτῶν· διὰ τοῦτο οὐκ ἔχουσιν σωτηρίαν, ὅτι οὐκ
15 εἰσὶν εὔχρηστοι εἰς οἰκοδομὴν διὰ τὰς πονηρίας αὐτῶν· διὰ τοῦτο
συνεκόπησαν καὶ πόρρω ἀπερίφησαν διὰ τὴν ὀργὴν τοῦ κυρίου,
ὅτι παρώργισαν αὐτόν. [2]τοὺς δὲ ἑτέρους, οὓς ἑώρακας πολλοὺς 2
κειμένους μὴ ὑπάγοντας εἰς τὴν οἰκοδομήν· οὗτοι, οἱ μὲν ἐψωριακότες
εἰσὶν οἱ ἐγνωκότες τὴν ἀλήθειαν, μὴ ἐπιμείναντες δὲ ἐν αὐτῇ μηδὲ
20 κολλώμενοι τοῖς ἁγίοις· διὰ τοῦτο ἄχρηστοί εἰσιν.‘ [3],Οἱ δὲ τὰς 3
σχισμὰς ἔχοντες τίνες εἰσίν‘; ,Οὗτοί εἰσιν οἱ κατ᾽ ἀλλήλων

V. 2. νεοι εισιν S. v. (p.) ae. Hg.[1] Gh. F., om. L.[2] Ti. | τη πιστει S. v. p. Hg.[1] Gh. F., τῇ πίστει τοῦ κυρίου L.[2] Ti. 3. αγαθοποιειν S. Hg.[1] Gh. F., ποιεῖν τὸ ἀγαθόν L.[2] ed. pr. Ti. | οὐχ L.[2] v. ae. ed. pr. Ti. Hg.[1] A. Harnack, Lipsius l. l., F., om. S. p. Gh. 4. εριπτουν S. Hg.[1] Gh. F., ερριπτουν L.[2] ed. pr. Ti. 5. οἱ L.[2] ed. pr. Ti. Hg.[1], om. S. Gh. F. | μετανοησαι S. v. p. ae. Hg.[1] Gh. F., μεταχρῦσαι (corr. in μεταχωρίσται) L.[2], μεταχωρῆσαι Ti. 5. 6. μακραν ουκ απεριφησαν S. v. p. ae. Hg.[1] Gh. F., οὐκ ἀπερίφθησαν L.[2] Ti. 7. μετανοήσωσιν S. Hg.[1] Gh. F.. μετανοήσουσιν L.[2] Ti. | μελλοντες μετανοειν εαν S. v. p. Hg.[1] Gh. F., μέλανες .... L.[2] (Ang. Gh.). 8. μετανοησωσιν L.[2] et edd., μετανοησουσιν S. | ισχυροι S. v. p. ae. et edd., δύσχρηστοι L.[2] | εν τη πιστει, εαν νυν μετανοησωσιν S. Hg.[1] Gh. F., τῇ πίστει ἐκείνων L.[2] (ἐκείνῃ Ti.). 9. οἰκοδομεῖται v. p. ae. et edd., οικοδομιται S., οἰκοδόμηται L.[2]. 10. εχουσιν S. v. Gh. F., ἕξο[υσιν] L.[2] p. ae. Hg.[1] | τοπον αλλ εσονται εκβολοι S. v. p. ae. Hg.[1] Gh. F., ... νονται καθο (super o notato λ) L.[2] secundum Gh. | εξουσιν L.[2] v. p. ed. pr. Ti. Hg.[1], εχουσιν S. ae. Gh. F. 11. ὅτι παρὰ τῷ πύργῳ κεῖνται L.[2] v. p. (ae.) ed. pr. Ti. Hg.[1], παρα τω πυργω κισθαι S. Gh. (κεισθαι) F. (ut Gh.).

VI. 11. δε S. v. p. ae. ed. pr. Hg.[1] Gh. F., om. L.[2] ed. pr. Ti. 11. 12. καὶ μακρὰν ῥιπτομένους L.[2] v. p. ae. et edd., om. S. 12. 13. ουτοι εισιν οι υιοι S. v. p. ae. Hg.[1] Gh. F., ... διότι επ. . L.[2] Ti. 13. εν υποκρισει S. v. (p.) ae. Hg.[1] Gh. F., εἰς (vel καὶ) ὑποκιρσίανL.[2], εἰς ὑποκρισίαν Ti. | πονηρια S. v. p. ae. Hg.[1] Gh. F., ἀνομία L.[2] ed. pr. Ti. 15. ευχρηστοι S. v. p. ae. Hg.[1] Gh. F., ἀδελφοὶ L.[2], ὠφέλιμοι ed. pr. Ti. | οικοδομην S. v. p. ae. Hg.[1] Gh. F., τὴν οἰκοδομὴν τοῦ πύργου L.[2] ed. pr. Ti. 15—17. δια τουτο συνεκοπησαν και πορρω απεριφησαν δια την οργην του κυριου οτι παρωργισαν αυτον S. (πορω) S[c]. v. p. ae. Hg.[1] Gh. F., om. L.[2] Ti. 17. ετερους S. p. ae. Hg.[1] Gh. F., ἑτέρους λίθους L.[2] v. ed. pr. Ti. 18. μη S[c]. v. (p.) Gh. F., καὶ μὴ L.[2] ae. ed. pr. Ti. Hg.[1], om. S. | ουτοι οι μεν εψωριακοτες S. (v. p.) Hg.[1] Gh. F., [οὗτοι εψω]ριακότες L.[2] ed. pr. Ti. 19. ἐπιμείναντες L.[2] v. p. (ae.) et edd., επιμενοντες S. 19. 20. μηδὲ—ἄχρηστοί εἰσιν L.[2] v. et edd., om. S. p. ae.

ἐν ταῖς καρδίαις ἔχοντες καὶ μὴ εἰρηνεύοντες ἐν ἑαυτοῖς, οἱ εἰς μὲν πρόσωπον εἰρήνην ἔχοντες, ὅταν δὲ ἀπ' ἀλλήλων ἀποχωρήσωσιν, αἱ πονηρίαι αὐτῶν ἐν ταῖς καρδίαις ἐμμένουσιν. αὗται οὖν αἱ σχισμαί 4 εἰσιν, ἃς ἔχουσιν οἱ λίθοι. [4]οἱ δὲ κεκολοβωμένοι, οὗτοί εἰσιν οἱ πεπιστευκότες μὲν καὶ τὸ πλεῖον μέρος ἔχοντες ἐν τῇ δικαιοσύνῃ· τινὰ δὲ μέρη ἔχουσιν τῆς ἀνομίας· διὰ τοῦτο κολοβοὶ καὶ οὐχ 5 ὁλοτελεῖς εἰσίν'. [5],Οἱ δὲ λευκοὶ καὶ στρογγύλοι καὶ μὴ ἁρμόζοντες εἰς τὴν οἰκοδομὴν τίνες εἰσιν, κυρία'; ἀποκριθεῖσά μοι λέγει ,Ἕως πότε μωρὸς εἶ καὶ ἀσύνετος καὶ πάντα ἐπερωτᾷς καὶ οὐδὲν νοεῖς; οὗτοί εἰσιν οἱ ἔχοντες μὲν πίστιν, ἔχοντες δὲ καὶ πλοῦτον τοῦ αἰῶνος τούτου. ὅταν γένηται θλῖψις, διὰ τὸν πλοῦτον αὐτῶν καὶ 6 διὰ τὰς πραγματείας ἀπαρνοῦνται τὸν κύριον αὐτῶν.' [6]καὶ ἀποκριθεὶς αὐτῇ λέγω ,Κυρία, πότε οὖν εὔχρηστοι ἔσονται εἰς τὴν οἰκοδομήν'; ,Ὅταν', φησίν, ,περικοπῇ αὐτῶν ὁ πλοῦτος ὁ ψυχαγωγῶν αὐτούς, τότε εὔχρηστοι ἔσονται τῷ θεῷ. ὥσπερ γὰρ ὁ λίθος ὁ στρογγύλος, ἐὰν μὴ περικοπῇ καὶ ἀποβάλῃ ἐξ αὐτοῦ τι, οὐ δύναται τετράγωνος γενέσθαι, οὕτω καὶ οἱ πλουτοῦντες ἐν τούτῳ τῷ αἰῶνι, ἐὰν μὴ περικοπῇ αὐτῶν ὁ πλοῦτος, οὐ δύνανται τῷ κυρίῳ εὔχρη- 7 στοι γενέσθαι. [7]ἀπὸ σεαυτοῦ πρῶτον γνῶθι· ὅτε ἐπλούτεις, ἄχρηστος ἦς, νῦν δὲ εὔχρηστος εἶ καὶ ὠφέλιμος τῇ ζωῇ. εὔχρηστοι γίνεσθε τῷ θεῷ· καὶ γὰρ σὺ αὐτὸς κεχάραξαι ἐκ τῶν αὐτῶν λίθων.

VI. 1. εν ταις καρδιαις εχοντες S. Hg.[1] Gh. F., ἔχ. ἐν τ. καρδ. L.[2] ed. pr. Ti. 1. 2. οἱ εἰς μὲν πρόσωπον εἰρήνην ἔχοντες v. p. ae. (et coram hominibus quidem pacem servant) Hg.[1] Gh. F., αλλα προσωπον ϊρηνης εχοντες S., οἱ εἰς. . . . πον εἰρήνην ἔχοντες L.[2], ἐν μὲν τῷ παρόντι εἰρήνην ἔχοντες ed. pr. Ti. 2. απ αλληλων αποχωρησωσιν S. v. p. ae. Hg.[1] Gh. F., ἀποχωρισθῶσιν L.[2] ed. pr. Ti. 3. αυτων εν ταις καρδιαις S. v. p. ae. Hg.[1] Gh. F., ἐν ταῖς καρδ. αὐτῶν L.[2] ed. pr. Ti. 4. οι λιθοι S. v. p. ae. ed. pr. Hg.[1] Gh. F., ... L.[2], om. Ti. | εἰσιν οἱ L.[2] ed. pr. Ti. Hg.[1], εισιν S. Gh. F. 5. μεν S[c]. L.[2] v. p. et edd., om. S. | πλεῖον L.[2] p. Gh. F., πλιον S., πλεῖστον ed. pr. Ti. Hg.[1] | εχοντες L.[2] et edd., εχουσιν S. — τη S. Hg.[1] Gh. F., om. L.[2] ed. pr. Ti. 6. εχουσιν p. ae. Hg.[1] Gh. F., ἔχοντες L.[2] ed. pr. Ti. 8. μοι λεγει S. Hg.[1] Gh. F., λέγει μοι L.[2] ed. pr. Ti. 9. επερωτας S. et edd., ἐρωτᾷς (super ἐρ notato πε) L.[2] 10. οι L.[2] p. ae. ed. pr. Ti. Hg.[1], om. S. (v.?) Gh. F. | και S. v. Hg.[1] Gh. F., om. L.[2] ed. pr. Ti. 10. 11. τοῦ αἰῶνος τούτου — πλοῦτον L.[2] (post τούτου add. τὴν οὐσίαν) v. p. ae. et edd. (τὴν οὐσίαν etiam ed. pr. Ti. Lipsius [Ztschr. f. w. Th. 1865. p. 292]), om. S. propter homoeotel. 11. δια S. p. ae. Hg.[1] Gh. F., om. L.[2] v. ed. pr. Ti. 12. τον κυριον αυτων S. v. p. (ae.) Hg.[1] Gh. F., αὐτὸν τὸν κύριον L.[2] ed. pr. Ti. και S. p. ae. Hg.[1] Gh. F., om. L.[2] v. ed. pr. Ti. 15. γαρ S.[c] L.[2] v. et edd., om. S. p. ae. 18. κυριω S. v. p. ae. Hg.[1] Gh. F., Χριστῷ L.[2] ed. pr. Ti. 19. απο S. L.[2] v. ae. et edd., απο δε S[c]. p. 20. αχρηστος ης S. v. p. ae. Hg.[1] Gh. F., εὔχρηστος ἦσθα (litteris θα deletis) L.[2] (Ang.), εὔχρηστος ἦσθα ed. pr. Ti. | ευχρηστος ει και ωφελιμος S. v. p. ae. Hg.[1] Gh. F., εὔχρ. κ. ὠφ. εἶ L.[2] ed. pr. (ἐν pro εἶ) Ti. 20. 21. εὔχρηστοι γίνεσθε τῷ θεῷ S. p. (utiles estote deo) ae. (estote igitur utiles domino) Hg.[1] Gh. F., εὔχρηστοι ἦσθε τῷ θεῷ L.[2] Ti., εὔχρηστος ἦσθα τῷ θεῷ ed. pr., om. v., addubitavit Hb. 21. καὶ γὰρ σὺ αὐτὸς κεχάραξαι ἐκ τῶν αὐτῶν λίθων scripsi, καὶ γὰρ σὺ αὐτὸς χρᾶσαι ἐκ. τ. α. λ. L.[2] ed. pr. Ti. Gh. F., καὶ γὰρ σὺ αὐτὸς χρησθήσῃ ἐκ τ. α. λ. Hg.[1], nam et tu ipse ex eis lapidibus fuisti (κεχάραξαι) v., et tu autem utilior de ipsis lapidibus eris p. (qui iam χρᾶσαι legisse videtur), nam et tu ipse ex illis lapidibus es (eris) ae. (κεχάραξαι).

VII. τοὺς δὲ ἑτέρους λίθους οὓς εἶδες μακρὰν ἀπὸ τοῦ πύργου 1
ῥιπτομένους καὶ πίπτοντας εἰς τὴν ὁδὸν καὶ κυλιομένους ἐκ τῆς
ὁδοῦ εἰς τὰς ἀνοδίας· οὗτοί εἰσιν οἱ πεπιστευκότες μέν, ἀπὸ δὲ
τῆς διψυχίας αὐτῶν ἀφίουσιν τὴν ὁδὸν αὐτῶν τὴν ἀληθινήν·
5 δοκοῦντες οὖν βελτίονα ὁδὸν δύνασθαι εὑρεῖν πλανῶνται καὶ ταλαιπωροῦσιν περιπατοῦντες ἐν ταῖς ἀνοδίαις. [2]οἱ δὲ πίπτοντες εἰς 2
τὸ πῦρ καὶ καιόμενοι, οὗτοί εἰσιν οἱ εἰς τέλος ἀποστάντες τοῦ
θεοῦ τοῦ ζῶντος, καὶ οὐκέτι αὐτοῖς ἀνέβη ἐπὶ τὴν καρδίαν τοῦ
μετανοῆσαι διὰ τὰς ἐπιθυμίας τῆς ἀσελγείας αὐτῶν καὶ τῶν πονη-
10 ριῶν ὧν εἰργάσαντο. [3]τοὺς δὲ ἑτέρους τοὺς πίπτοντας ἐγγὺς 3
τῶν ὑδάτων καὶ μὴ δυναμένους κυλισθῆναι εἰς τὸ ὕδωρ θέλεις
γνῶναι τίνες εἰσίν; οὗτοί εἰσιν οἱ τὸν λόγον ἀκούσαντες καὶ θέλοντες βαπτισθῆναι εἰς τὸ ὄνομα τοῦ κυρίου· εἶτα ὅταν αὐτοῖς
ἔλθῃ εἰς μνείαν ἡ ἁγνότης τῆς ἀληθείας, μετανοοῦσιν καὶ πορεύονται Sir. XVIII, 29.
15 πάλιν ὀπίσω τῶν ἐπιθυμιῶν αὐτῶν τῶν πονηρῶν'. [4]ἐτέλεσεν οὖν 4
τὴν ἐξήγησιν τοῦ πύργου. [5]ἀναιδευσάμενος ἔτι αὐτὴν ἐπηρώτησα 5
,Εἰ ἄρα πάντες οἱ λίθοι οὗτοι οἱ ἀποβεβλημένοι καὶ μὴ ἁρμόζοντες
εἰς τὴν οἰκοδομὴν τοῦ πύργου, εἰ ἔστιν αὐτοῖς μετάνοια, καὶ ἔξουσιν
τόπον εἰς τὸν πύργον τοῦτον'; ,Ἔχουσιν', φησίν, ,μετάνοιαν, ἀλλὰ
20 εἰς τοῦτον τὸν πύργον οὐ δύνανται ἁρμόσαι· [6]ἑτέρῳ δὲ τόπῳ 6
ἁρμόσουσιν πολὺ ἐλάττονι, καὶ τοῦτο ὅταν βασανισθῶσιν καὶ
ἐκπληρώσωσιν τὰς ἡμέρας τῶν ἁμαρτιῶν αὐτῶν. καὶ διὰ τοῦτο
μετατεθήσονται, ὅτι μετέλαβον τοῦ ῥήματος τοῦ δικαίου. καὶ τότε
αὐτοῖς συμβήσεται μετατεθῆναι ἐκ τῶν βασάνων αὐτῶν, ἐὰν ἀναβῇ
25 ἐπὶ τὴν καρδίαν αὐτῶν τὰ ἔργα ἃ εἰργάσαντο πονηρά. ἐὰν δὲ μὴ

VII. 1. ους S. v. p. ae. Hg.[1] Gh. F., om. L.[2] ed. pr. Ti. 2. εκ S. Hg.[1] Gh. F., ἀπὸ L.[2] ed. pr. Ti. 4. αφιουσιν S. Hg.[1] Gh. F., ἀφίνουσι (vel ἀφίουσι) L.[2] ed. pr. Ti. | οδον αυτων την αληθινην S. v. p. Hg.[1] Gh. F., ὁδὸν τὴν ἀληθῆ L.[2] ae. ed. pr. Ti. 5. δοκουντες S. v. ae. et edd., δολοῦντες L.[2] 6. ανοδιαις L.[2] v. ae. et edd., ανομιαις S. 7. εισιν οι S[c]. L.[2] v. p. ae. et edd., om. S. 8. του (sec.) S. ed. pr. Gh. F., τὸ L.[2] ed. pr. Ti. Hg.[1] 9. 10. αυτων και των πονηριων ων ειργασαντο S. (ηργασαντο) v. p. Hg.[1] Gh. F., καὶ τῆς πονηρίας ὧν εἰργάζοντο L.[2] ed. pr. Ti. 11. 12. θέλεις γνῶναι L.[2] ae. et edd., om. S. v. p. 12. οι S. et edd., οἷς L.[2] 13. 14. αυτοις ελθη S. Hg.[1] Gh. F., ἔλθῃ αὐτοῖς L.[2] ed. pr. Ti. 14. μνείαν L.[2] (?) Hg.[1] Gh. F., μνιαν S., μνήμην L.[2] (?) ed. pr. Ti. | αγνοτης S. v. (ἁγιότης) p. ae. (tamquam ab ἀγνοεῖν) Hg.[1] Gh. F., γνῶσις L.[2] ed. pr. Ti. | πορευονται S. v. p. ae. Ti. Hg.[1] Gh. F., πονηρεύονται L.[2] ed. pr. 15. επιθυμιων S. v. p. Hg.[1] Gh. F., πονηριῶν L.[2] ed. pr. Ti. (sed dubitans). | ετελεσεν S. ed. pr. (-σε) Ti. Hg.[1] Gh. F., ἐτέλευσεν L.[2] Ti., ἐτελείωσεν L.[2] (Ang.). 16. ετι αυτην επηρωτησα S. v., δὲ ἐπ' αὐτὸν ἐπηρώτησα ἔτι L.[2] ed. pr. (αὐτὴν) Ti. (αὐτὴν). 18. ἕξουσιν L.[2] v. p. ae. ed. pr. Ti. Hg.[1], εχουσιν S. Gh. F. 19. τουτον S. et edd., τουτης L.[2] (Ti.), τούτοις L.[2] (Ang.), τούτους Gh. | αλλα S. Gh. F., ἀλλ' L.[2] ed. pr. Ti. Hg.[1] 20. πύργον S. v. p. Hg.[1] Gh. F., τόπον L.[2] ae. ed. pr. Ti. 21. οταν S. Hg.[1] Gh. F., ἐὰν L.[2] ed. pr. Ti. 22. ἐκπληρώσωσιν Hg.[1] Gh. F., εκπληρωσωσειν S., πληρώσωσι L.[2] ed. pr. Ti. | αὐτῶν L.[2] v. p. ae. et edd., om. S. 24. ἐὰν ἀναβῇ ἐπὶ τὴν καρδίαν αὐτῶν L.[2] v. p. ae. et edd., δια S. p. 25—p. 22, 1. τα εργα — καρδιαν αυτων S. (ηργασαντο) v. p. ae. Hg.[1] Gh. F., om. L.[2] (propter homoeoteleuton) ed. pr. (ubi nonnulla restituuntur) Ti.

ἀναβῇ ἐπὶ τὴν καρδίαν αὐτῶν μετανοῆσαι, οὐ σώζονται διὰ τὴν σκληροκαρδίαν αὐτῶν‘.

1 VIII. Ὅτε οὖν ἐπαυσάμην ἐρωτῶν αὐτὴν περὶ πάντων τούτων, λέγει μοι, ‚Θέλεις ἄλλο ἰδεῖν τι‘; κατεπίθυμος ὢν τοῦ θεάσασθαι 2 περιχαρὴς ἐγενόμην τοῦ ἰδεῖν. [2]ἐμβλέψασά μοι ὑπεμειδίασεν καὶ λέγει μοι ‚Βλέπεις ἑπτὰ γυναῖκας κύκλῳ τοῦ πύργου‘; ‚Βλέπω‘, φημί, ‚κυρία‘. ‚Ὁ πύργος οὗτος ὑπὸ τούτων βαστάζεται κατ' ἐπι- 3 ταγὴν τοῦ κυρίου. [3]ἄκουε νῦν τὰς ἐνεργείας αὐτῶν. ἡ μὲν πρώτη αὐτῶν ἡ κρατοῦσα τὰς χεῖρας Πίστις καλεῖται· διὰ ταύτης σώζονται 4 οἱ ἐκλεκτοὶ τοῦ θεοῦ. [4]ἡ δὲ ἑτέρα ἡ περιεζωσμένη καὶ ἀνδριζομένη Ἐγκράτεια καλεῖται· αὕτη θυγάτηρ ἐστὶν τῆς Πίστεως. ὃς ἂν οὖν ἀκολουθήσῃ αὐτῇ, μακάριος γίνεται ἐν τῇ ζωῇ αὐτοῦ, ὅτι πάντων τῶν πονηρῶν ἔργων ἀφέξεται πιστεύων, ὅτι ἐὰν ἀφέξη- 5 ται πάσης ἐπιθυμίας πονηρᾶς, κληρονομήσει ζωὴν αἰώνιον‘. [5]‚Αἱ δὲ ἕτεραι, κυρία, τίνες εἰσίν‘; ‚Θυγατέρες ἀλλήλων εἰσίν· καλοῦνται δὲ ἡ μὲν Ἁπλότης, ἡ δὲ Ἀκακία, ἡ δὲ Σεμνότης, ἡ δὲ Ἐπιστήμη, ἡ δὲ Ἀγάπη. ὅταν οὖν τὰ ἔργα τῆς μητρὸς αὐτῶν πάντα ποιήσῃς, 6 δύνασαι ζῆσαι‘. [6]‚Ἤθελον‘, φημί, ‚γνῶναι, κυρία, τίς τίνα δύναμιν 7 ἔχει αὐτῶν‘. ‚Ἄκουε‘, φησίν, ‚τὰς δυνάμεις ἴσας ἔχουσιν, [7]κρατοῦνται

Vis. III, VIII., 8—17. Clemens Al. Strom. II, 12, 55, p. 458: Ἡ τοίνυν συνέχουσα τὴν ἐκκλησίαν, ὥς φησιν ὁ Ποιμήν, ἀρετὴ ἡ πίστις ἐστί, δι' ἧς σώζονται οἱ ἐκλεκτοὶ τοῦ θεοῦ, ἡ δὲ ἀνδριζομένη ἐγκράτεια. ἕπεται δ' αὐταῖς ἁπλότης, ἐπιστήμη, ἀκακία, σεμνότης, ἀγάπη. πᾶσαι δὲ αὗται πίστεώς εἰσι θυγατέρες. καὶ πάλιν· προηγεῖται μὲν πίστις, φόβος δὲ οἰκοδομεῖ, τελειοῖ δὲ ἡ ἀγάπη.

VII. 1. μετανοησαι S[a]. L.[2] ae. ed. pr. Ti. Hg.[1], om. S. v. p. Gh. F. | σωζονται S. v. p. ae. et edd., ζωσονται (super ζω notato σω) L.[2] (Ang.). | σκληροκαρδιαν S. (σκηροκ.) v. Hg.[1] Gh. F., σκληρὰν καρδίαν L.[2] p. ed. pr. Ti.

VIII. 4. τι S[c]. v., om. S. L.[2] p. ae. et edd. 5. ἐμβλέψασα L.[2] et edd., βλεψασα S. 7. φημι S. v. p. ae. et edd., φησίν L.[2] οὗτος L.[2] v. p. ae. et edd., om. S. 9. κρατουσα τας χειρας S. Hg.[1] Gh. F., τὰς χεῖρας κρατοῦσα L.[2] ed. pr. Ti. | πιστις S. v. p. ae. et edd., πιστὴ L.[2] ταύτης Clem. Al. L.[2] v. p. ae. et edd., ταυτην S. 10. 11. καὶ ἀνδριζομένη Clem. Al. v. p. Hg.[1] Gh. F., om. L.[2] ae. (cf. Vis. I, 4 p. 8, 18) ed. pr. Ti. 11. ενκρατια S. 12. ουν S. v. Hg.[1] Gh. F., om. L.[2] p. ed. pr. Ti. | ἀκολουθήσῃ αὐτῇ S. v. p. (αὐτῇ Dind. II, 12) Hg.[1] Gh. F., ἀκολουθῇ αὐταῖς L.[2] ae. ed. pr. Ti. | αυτου S. v. p. ae. Hg.[1] Gh. F., om. L.[2] ed. pr. Ti. 13. των S. Hg.[1] Gh. F., om. L.[2] ed. pr. Ti. 13. 14. πιστεύων ὅτι ἐὰν ἀφέξηται L.[2] v. p. (om. ἐὰν) ae. et edd., και S. 14. κληρονομήσει v. ae. et edd., -σῃ L.[2], και κληρονομηση S. (p.). 15. κυρια τινες εισιν S. v. p. ae. Hg.[1] Gh. F., κύριαι πᾶσαί εἰσιν L.[2], κυρια, πέντε τίνες εἰσίν ed. pr. Ti. 16. 17. ἡ μὲν Ἁπλότης, ἡ δὲ Ἀκακία, ἡ δὲ Σεμνότης, ἡ δὲ Ἐπιστήμη, ἡ δὲ Ἀγάπη, L.[2] (cf. p. 23, 3—5. c. IX. p. 23, 20) v. ed. pr. Hg.[1], ἡ μὲν ἁπλότης, ἡ δὲ ἐπιστήμη, ἡ δὲ ἀκακία, ἡ δὲ σεμνότης, ἡ δὲ ἀγάπη Clem. Al. S. p. Gh. F., ἀκακία, ἁπλότης, (hilaritas), ἀγάπη, σεμνότης, ἐπιστήμη (sinceritas) ae. ordo iam apud Clem. Al. et S. mutatus esse videtur. cf. similem locum Sim. IX, 15. 17. ποιήσῃς L.[2] v. p. et edd., ποιης S. 18. φημι γνωναι S. Gh. F., γνῶναι, φημί L.[2] ed. pr. Ti. Hg.[1] 19. τὰς δυνάμεις ἴσας ἔχουσιν v. (virtutes aequales habent) Hb., τας δυναμεις ας (ortum e δυναμεις εισας) εχουσιν S. p. Hg.[1] Gh. F., τὰς δυνάμεις αὐτῶν L.[2] ae. ed. pr. Hg.[1]

δὲ ὑπ' ἀλλήλων αἱ δυνάμεις αὐτῶν καὶ ἀκολουθοῦσιν ἀλλήλαις,
καθὼς καὶ γεγεννημέναι εἰσίν. ἐκ τῆς Πίστεως γεννᾶται Ἐγκρά-
τεια, ἐκ τῆς Ἐγκρατείας Ἁπλότης, ἐκ τῆς Ἁπλότητος Ἀκακία, ἐκ
τῆς Ἀκακίας Σεμνότης, ἐκ τῆς Σεμνότητος Ἐπιστήμη, ἐκ τῆς Ἐπι-
5 στήμης Ἀγάπη. τούτων οὖν τὰ ἔργα ἁγνὰ καὶ σεμνὰ καὶ θεῖά
ἐστιν. [8]ὃς ἂν οὖν δουλεύσῃ ταύταις καὶ ἰσχύσῃ κρατῆσαι τῶν 8
ἔργων αὐτῶν, ἐν τῷ πύργῳ ἕξει τὴν κατοίκησιν μετὰ τῶν ἁγίων
τοῦ θεοῦ'. [9]ἐπηρώτων δὲ αὐτὴν περὶ τῶν καιρῶν, εἰ ἤδη συντέλειά 9
ἐστιν. ἡ δὲ ἀνέκραγε φωνῇ μεγάλῃ λέγουσα ,'Ἀσύνετε ἄνθρωπε,
10 οὐχ ὁρᾷς τὸν πύργον ἔτι οἰκοδομούμενον; ὡς ἐὰν οὖν συντελεσθῇ
ὁ πύργος οἰκοδομούμενος, ἔχει τέλος. ἀλλὰ ταχὺ ἐποικοδομηθή-
σεται. μηκέτι με ἐπερώτα μηδέν· ἀρκετή σοι ἡ ὑπόμνησις αὕτη
καὶ τοῖς ἁγίοις καὶ ἡ ἀνακαίνωσις τῶν πνευμάτων ὑμῶν. [10]ἀλλ' 10
οὐ σοὶ μόνῳ ἀπεκαλύφθη, ἀλλ' ἵνα πᾶσιν δηλώσῃς αὐτά. [11]μετὰ 11
15 τρεῖς ἡμέρας — νοῆσαί σε γὰρ δεῖ πρῶτον — ἐντέλλομαί σοι
πρῶτον, Ἑρμᾶ, τὰ ῥήματα ταῦτα, ἅ σοι μέλλω λέγειν, λαλῆσαι αὐτὰ
πάντα εἰς τὰ ὦτα τῶν ἁγίων, ἵνα ἀκούσαντες αὐτὰ καὶ ποιήσαντες
καθαρισθῶσιν ἀπὸ τῶν πονηριῶν αὐτῶν, καὶ σὺ δὲ μετ' αὐτῶν·
IX. Ἀκούσατέ μου, τέκνα. ἐγὼ ὑμᾶς ἐξέθρεψα ἐν πολλῇ ἁπλό- 1
20 τητι καὶ ἀκακίᾳ καὶ σεμνότητι διὰ τὸ ἔλεος τοῦ κυρίου τοῦ ἐφ'
ὑμᾶς στάξαντος τὴν δικαιοσύνην, ἵνα δικαιωθῆτε καὶ ἁγιασθῆτε
ἀπὸ πάσης πονηρίας καὶ ἀπὸ πάσης σκολιότητος. ὑμεῖς δὲ οὐ
θέλετε παῆναι ἀπὸ τῆς πονηρίας ὑμῶν. [2]νῦν οὖν ἀκούσατέ μου 2

VIII. 1. ὑπ' L.[2] et edd., απ S. αι δυναμεις αυτων S. v. ae. Hg.[1] Gh. F., om. L.[2] p. ed. pr. Ti. 2. και S. ae. Hg.[1] Gh. F., om. L.[2] v. p. ed. pr. Ti. 2. 3. ενκρατια et ενκρατιας S. 5. οὖν L.[2] v. p. ae. et edd., om. S. 6. εστιν S. Hg.[1] Gh. F., εἰσιν L.[2] ed. pr. Ti. | ουν S. v. p. Hg.[1] Gh. F., om. L.[2] ae. ed. pr. Ti. | ισχυση S. Ti. Hg.[1] Gh. F., ἰσχύσαι L.[2], ἰσχύσει ed. pr. 8. επηρωτων δε S. Hg.[1] Gh. F., ἐπερώτησα L.[2] Ti., ἐπηρώτησα ed. pr. | των καιρων S. v. p. ed. pr. Hg.[1] Gh. F., τοῦ καιροῦ (super ου bis scripto ων) L.[2] Ti. 9. φωνη μεγαλη S. v. p. ae. ed. pr. Hg.[1] Gh. F., φωνὴν μεγάλην L.[2] Ti. 10. ετι οικοδομούμενον S. v. p. (ae.) Hg.[1] Gh. F., ἐποικοδομούμενον L.[2] Ti., ἀποικοδ. (ἐποικ.?) ed. pr. | ως εαν ουν S[c]. v. ae. Hg.[1] Gh. F., ος εαν S., ἕως ἂν οὖν L.[2] ed. pr. Ti., ἕως ἐὰν Lipsius (Zeitschr. f. w. Th. 1865. p. 294). συντελεσθη S. (ubi paulo post οικοδομουμενος repetuntur αν ουν τελεσθη ο πυργος, sed punctis notata sunt) v. p. ae. Hg.[1] Gh. F., om. L.[2] ed. pr. Ti. 11. εχει τελος S. v. Hg.[1] Gh. F., ἕξει τὸ τέλος S. p. (ed. pr. Ti.) 12. με S. (μαι) v. p. Hg.[1] Gh. F., om. L.[2] ae. ed. pr. Ti. επερωτα S. et edd., ἐπηρώτα L.[2] | αρκετη σοι S[c]. Hg.[1] Gh. F., αρκετοι S., ἀρκεῖ σοι L.[2] ed. pr. Ti. 12.—14. η υπομνησις—δηλωσης S. (δηλωσεις) v. p. ae. Hg.[1] Gh. F., om. L.[2] (ed. pr. Ti.) 15. σε S.[a.c.] v. p. Hg.[1] Gh. F., τε S., om. L.[2] ed. pr. Ti. 15. 16. ἐντέλλομαί σοι πρῶτον L.[2] p. ae. (quod te iubeo) et edd., om. S. v. propter homoeoteleuton. 16. 17. αὐτὰ πάντα v. p. Hg.[1] Gh. F., αυτα S., πάντα L.[2] ed. pr. Ti., omnibus ae. 18. καθαρισθωσιν S[c]. L.[2] v. p. ae. et edd., καθαρισωσιν S.

IX. 19. υμας S. ed. pr. Hg.[1] Gh. F., ὑμῶν L.[2] Ti. 21. στάξαντος S. (corr. e στενάξαντος) L.[2] v. p. ae. et edd., ταξαντος S[c]. | και αγιασθητε S. v. p. ae. Hg.[1] Gh. F., om. L.[2] ed. pr. Ti. 22. και απο S. p. Hg.[1] Gh. F., καὶ L.[2] ed. pr. Ti. 23. παηναι (cf. Vis. I, 3, 3 p. 7, 9) S. (παηνε) Hg.[1] (prolegg.) Hb. Gh. F., παῦσαι L.[2] ed. pr. Ti. Hg.[1] (text.).

καὶ εἰρηνεύετε ἐν ἑαυτοῖς καὶ ἐπισκέπτεσθε ἀλλήλους καὶ ἀντιλαμβάνεσθε ἀλλήλων, καὶ μὴ μόνοι τὰ κτίσματα τοῦ θεοῦ μεταλαμβάνετε ἐκ καταχύματος, ἀλλὰ μεταδίδοτε καὶ τοῖς ὑστερουμένοις·
3 [3]οἱ μὲν γὰρ ἀπὸ τῶν πολλῶν ἐδεσμάτων ἀσθένειαν τῇ σαρκὶ αὐτῶν ἐπισπῶνται καὶ λυμαίνονται τὴν σάρκα αὐτῶν· τῶν δὲ μὴ ἐχόντων ἐδέσματα λυμαίνεται ἡ σὰρξ αὐτῶν διὰ τὸ μὴ ἔχειν τὸ ἀρκετὸν τῆς
4 τροφῆς, καὶ διαφθείρεται τὸ σῶμα αὐτῶν. [4]αὕτη οὖν ἡ ἀσυγκρασία βλαβερὰ ὑμῖν τοῖς ἔχουσι καὶ μὴ μεταδιδοῦσιν τοῖς ὑστερουμένοις.
5 [5]βλέπετε τὴν κρίσιν τὴν ἐπερχομένην. οἱ ὑπερέχοντες οὖν ἐκζητεῖτε τοὺς πεινῶντας, ἕως οὔπω ὁ πύργος ἐτελέσθη· μετὰ γὰρ τὸ τελεσθῆναι τὸν πύργον θελήσετε ἀγαθοποιεῖν καὶ οὐχ ἕξετε τόπον.
6 [6]βλέπετε οὖν ὑμεῖς οἱ γαυρούμενοι ἐν τῷ πλούτῳ ὑμῶν, μήποτε στενάξουσιν οἱ ὑστερούμενοι, καὶ ὁ στεναγμὸς αὐτῶν ἀναβήσεται πρὸς τὸν κύριον, καὶ ἐκκλεισθήσεσθε μετὰ τῶν ἀγαθῶν ὑμῶν ἔξω
7 τῆς θύρας τοῦ πύργου. [7]νῦν οὖν ὑμῖν λέγω τοῖς προηγουμένοις τῆς ἐκκλησίας καὶ τοῖς πρωτοκαθεδρίταις· μὴ γίνεσθε ὅμοιοι τοῖς φαρμακοῖς. οἱ φαρμακοὶ μὲν οὖν τὰ φάρμακα αὐτῶν εἰς τὰς πυξίδας βαστάζουσιν, ὑμεῖς δὲ τὸ φάρμακον ὑμῶν καὶ τὸν ἰὸν εἰς
8 τὴν καρδίαν. [8]ἐνεσκιρρωμένοι ἐστὲ καὶ οὐ θέλετε καθαρίσαι τὰς καρδίας ὑμῶν καὶ συγκεράσαι ὑμῶν τὴν φρόνησιν ἐπὶ τὸ αὐτὸ ἐν καθαρᾷ καρδίᾳ, ἵνα σχῆτε ἔλεος παρὰ τοῦ βασιλέως τοῦ μεγάλου.
9 [9]βλέπετε οὖν, τέκνα, μήποτε αὗται αἱ διχοστασίαι ὑμῶν ἀποστερή-
10 σουσιν τὴν ζωὴν ὑμῶν. [10]πῶς ὑμεῖς παιδεύειν θέλετε τοὺς ἐκλεκτοὺς κυρίου, αὐτοὶ μὴ ἔχοντες παιδείαν; παιδεύετε οὖν ἀλλήλους καὶ εἰρηνεύετε ἐν αὐτοῖς, ἵνα κἀγὼ κατέναντι τοῦ πατρὸς

IX. 1. εαυτοις S[c].L.[2] et edd., αυτοις S. 1. 2. αντιλαμβανεσθε S. (-σθαι) ed. pr. Gh. F., ἀντιλαμβάνετε L.[2] Ti. Hg.[1] 2. κτισματα S. v. p. et edd., κτήσματα L.[2]. 3. υστερουμένοις L.[2] et edd., ϋστερημενοις S. 4. ασθενειαν S. v. p. ae. Hg.[1] Gh. F., ἀφθονίαν L.[2] ed. pr. Ti. | αὐτῶν L.[2] v. p. ae. et edd., om. S. 5. επισπωνται S[c]. L.[2] et edd., επιετωνται S. λυμαίνονται L.[2] et edd., λυμενι S. σάρκα L.[2] et edd., σαρκαν S. 6. αὐτῶν L.[2] v. p. et edd., om. S. 7. το σωμα S. v. p. Hg.[1] Gh. F., τὰ σώματα L.[2] ed. pr. Ti. | ἀσυγκρασία L.[2] ed. pr. Ti. Hg.[1], ασυνκρασια S. Gh. F., intemperantia v. p., ἀκρασία coniecit Ang. 9. επερχομενην S. v. Hg.[1] Gh. F., ἐρχομένην L.[2] p. ae. ed. pr. Ti. 10. ἐτελέσθη L.[2] et edd., τελεσθη S. 11. αγαθοποιειν S. Hg.[1] Gh. F., ἀγαθοποιῆσαι L.[2] ed. pr. Ti. οὐχ L.[2] et edd., ουκ S. 12. βλεπετε S. v. p. ae. et edd., βλέπε L.[2] | γαυρουμενοι S[c] Gh. F., γαυριωμενοι S., γαυριῶντες (cf. Vis. I, 8 p. 5, 9) L.[2] ed. pr. Ti. Hg.[1] 13. στεναξουσιν S. Hg.[1] Gh. F., στενάζωσιν L.[2] et pr. Ti. αναβησεται S. L[2]. (Ang.) ed. pr. Hg.[1] Gh. F., ἀποβήσεται L.[2] (Ti.) 14. τῶν ἀγαθῶν S. v. p. ae. ed. pr. Hg.[1] Gh. F., της (superscripto τοῦ, sequente voce per compendium scripta, quae a litteris ἀδ incipit et χ continet) L.[2], τῆς. . . ἀγαθῶν Ti. 16. πρωτοκαθεδριταις S[c]. L.[2] et edd., πρωτοκαθεδριεις S. 17. ουν S. Hg.[1] Gh. F., om. L.[2] ed. pr. Ti. | αὐτῶν L.[2] ed. pr. Ti. Hg.[1], εαυτων S. Gh. F. 19. ενεσκιρρωμένοι Hg.[1], ενεσκιρωμενοι S. Gh. F., ἐσκιρρωμένοι L.[2] ed. pr. Ti. 20. συγκεράσαι ὑμῶν L.[2] ed. pr. Ti. Hg.[1], συνκερασαι υμων S[c]. Gh. F., om. S. 22. ὑμῶν v. p. ae. Hg.[1] Gh. F., αυται υμων S[c]., αυται S., om. L.[2] ed. pr. Ti. 22. 23. αποστερησουσιν S. Hg.[1] Gh. F., ἀποστερησωσι L.[2] ed. pr. Ti. 25. αὐτοῖς Hg.[1] Gh. F., αυτοις S., αὐτοῖς L.[2] Ti., ἑαυτοῖς ed. pr.

ἱλαρὰ σταθεῖσα λόγον ἀποδῶ ὑπὲρ ὑμῶν πάντων τῷ κυρίῳ ὑμῶν'.

X. Ὅτε οὖν ἐπαύσατο μετ' ἐμοῦ λαλοῦσα, ἦλθον οἱ ἓξ (1) νεανίσκοι οἱ οἰκοδομοῦντες καὶ ἀπήνεγκαν αὐτὴν πρὸς τὸν πύργον, (5) καὶ ἄλλοι τέσσαρες ἦραν τὸ συμψέλλιον καὶ ἀπήνεγκαν καὶ αὐτὸ πρὸς τὸν πύργον. τούτων τὸ πρόσωπον οὐκ εἶδον, ὅτι ἀπεστραμμένοι ἦσαν. [2]ὑπάγουσαν δὲ αὐτὴν ἠρώτων, ἵνα μοι ἀποκαλύψῃ (2) περὶ τῶν τριῶν μορφῶν, ἐν αἷς μοι ἐνεφανίσθη. ἀποκριθεῖσά μοι λέγει ,Περὶ τούτων ἕτερον δεῖ σε ἐπερωτῆσαι, ἵνα σοι ἀποκαλυφθῇ.' (10) [3]ὤφθη δέ μοι, ἀδελφοί, τῇ μὲν πρώτῃ ὁράσει τῇ περυσινῇ λίαν (3) πρεσβυτέρα καὶ ἐν καθέδρᾳ καθημένη. [4]τῇ δὲ ἑτέρᾳ ὁράσει τὴν (4) μὲν ὄψιν νεωτέραν εἶχεν, τὴν δὲ σάρκα καὶ τὰς τρίχας πρεσβυτέρας καὶ ἑστηκυῖά μοι ἐλάλει. ἱλαρωτέρα δὲ ἦν ἢ τὸ πρότερον. [5]τῇ (5) δὲ τρίτῃ ὁράσει ὅλη νεωτέρα καὶ κάλλει ἐκπρεπεστάτη, μόνας δὲ (15) τὰς τρίχας πρεσβυτέρας εἶχεν· ἱλαρὰ δὲ εἰς τέλος ἦν καὶ ἐπὶ συμψελλίου καθημένη. [6]περὶ τούτων περίλυπος ἤμην λίαν τοῦ γνῶναί (6) με τὴν ἀποκάλυψιν ταύτην. καὶ βλέπω τὴν πρεσβυτέραν ἐν ὁράματι τῆς νυκτὸς λέγουσάν μοι ,Πᾶσα ἐρώτησις ταπεινοφροσύνης χρῄζει· νήστευσον οὖν καὶ λήμψῃ ὃ αἰτεῖς παρὰ τοῦ κυρίου.'

(20) [7]Ἐνήστευσα οὖν μίαν ἡμέραν, καὶ αὐτῇ τῇ νυκτί μοι ὤφθη (7) νεανίσκος καὶ λέγει ,Τί σὺ ὑπὸ χεῖρα αἰτεῖς ἀποκαλύψεις ἐν δεήσει; βλέπε μήποτε πολλὰ αἰτούμενος βλάψῃς σου τὴν σάρκα

Vis. III, X. 10 sq. Hieronymus Comm. in Oseam VII, 9 (Opp. VI, 75): unde et in libro Pastoris, si cui tamen placet illius recipere lectionem, Hermae primum videtur Ecclesia cano capite, deinde adulescentula et sponsa crinibus adornata.
18. 19. Antiochus Hom. CVI p. 1197 B: χωρὶς δὲ ταπεινοφροσύνης οὐκ ἔστιν εὐπρόσδεκτον γενέσθαι προσευχήν.

IX. 1. υπερ υμων S[c] L.[2] v. p. ae. et edd., υπερ ημων S. 1. 2. κυρίῳ ὑμῶν L.[2] p. et edd., κυριω ημων S., κυρίῳ v. ae.
X. 4. απηνεγκαν αυτην S. v. p. ae. Hg.[1] Gh. F., ἦραν αὐτοὶ L.[2] (αὐτὴν Ang.) ed. pr. Ti. 5. συμψέλλιον (cf. p. 13, 7) Hg.[1] F., συμψελιον S. Gh., συμκέλλιον L.[2], ἑδώλιον ed. pr. 5. 6. και αυτο προς S. v. (et ierunt ipsi iterum in turrim) ae. Hg.[1] Gh. F., εἰς L.[2] (p.) ed. pr. Ti. 6. το S[c]. L.[2] et edd., om. S. 7. δε S[c]. L.[2] p. et edd., om. S. v. 8. ενεφανισθη S. Hg.[1] Gh. F., ἀνεφανίσθη L.[2] ed. pr. Ti. 9. επερωτησαι S. Hg.[1] Gh. F., ἐρωτῆσαι L.[2] ed. pr. Ti. 10. περυσινῇ edd., περσυνη S., περισυνῇ L.[2] 11. ετερα S. v. p. Hg.[1] Gh. F., δευτέρᾳ L.[2] (ae.?) ed. pr. Ti. 12. σάρκα' L.[2] et edd., σάρκᾶ S. | πρεσβυτερας S[c]. L.[2] et edd., πρεσβυτερα S. 13. ιλαρωτερα S. et edd., ἱλαρωτέραν (super ραν notato ρα) L.[2] | ἢ τὸ πρότερον L.[2] v. p. ae. et edd., το προσωπον S. 14. εκπρεπεστατη S. Gh. F., εὐπρεπεστάτη L.[2] ed. pr. Ti. Hg.[1] 15. sq. συμψελλίου Hg.[1] F., συμψελιου S. Gh., συμψελλίου δὲ L.[2] Ti., ἑδωλίου ed. pr. 16. του S. L.[2] (Ang.) p. ae. ed. pr. Hg.[1] Gh. F., [ἕως] τοῦ v. Ti. 18. μοι S. v. p. ae. Hg.[1] Gh. F., om. L.[2] ed. pr. Ti. | πασα ερωτησις S[c]. L.[2] v. p. ae. et edd., πασαν μοι πασαν ερωτησεις S. 19. λημψη S. Hg.[1] Gh. F., λήψῃ L.[2] ed. pr. Ti. 20. και S[c]. L.[2] p. ae. et edd., om. S. v. 21. λεγει L.[2] v. p. ed. pr. Ti., λέγει μοι S. Hg.[1] Gh. F. τί L.[2] v. ae. et edd., οτι S. p. | αἰτεῖς L.[2] et edd., αιτισαι S.

8 [8]ἀρκοῦσίν σοι αἱ ἀποκαλύψεις αὗται. μήτι δύνῃ ἰσχυροτέρας ἀπο-
9 καλύψεις ὧν ἑώρακας ἰδεῖν; [9]ἀποκριθεὶς αὐτῷ λέγω ‚Κύριε, τοῦτο
μόνον αἰτοῦμαι, περὶ τῶν τριῶν μορφῶν τῆς πρεσβυτέρας, ἵνα
ἀποκάλυψις ὁλοτελὴς γένηται‘. ἀποκριθείς μοι λέγει ‚Μέχρι τίνος
ἀσύνετοί ἐστε; ἀλλ᾿ αἱ διψυχίαι ὑμῶν ἀσυνέτους ὑμᾶς ποιοῦσι
10 καὶ τὸ μὴ ἔχειν τὴν καρδίαν ὑμῶν πρὸς τὸν κύριον‘. [10]ἀποκριθεὶς
αὐτῷ πάλιν εἶπον ‚Ἀλλ᾿ ἀπὸ σοῦ, κύριε, ἀκριβέστερον αὐτὰ γνω-
1 σόμεθα‘. XI. ‚Ἄκουε‘, φησίν, ‚περὶ τῶν τριῶν μορφῶν ὧν ἐπι-
2 ζητεῖς. [2]τῇ μὲν πρώτῃ ὁράσει διὰ τί πρεσβυτέρα ὤφθη σοι καὶ
ἐπὶ καθέδραν καθημένη; ὅτι τὸ πνεῦμα ὑμῶν πρεσβύτερον καὶ ἤδη
μεμαραμμένον καὶ μὴ ἔχον δύναμιν ἀπὸ τῶν μαλακιῶν ὑμῶν καὶ
3 διψυχιῶν. [3]ὥσπερ γὰρ οἱ πρεσβύτεροι μηκέτι ἔχοντες ἐλπίδα τοῦ
ἀνανεῶσαι οὐδὲν ἄλλο προσδοκῶσιν εἰ μὴ τὴν κοίμησιν αὐτῶν,
οὕτω καὶ ὑμεῖς μαλακισθέντες ἀπὸ τῶν βιωτικῶν πραγμάτων παρ-
εδώκατε ἑαυτοὺς εἰς τὰς ἀκηδίας καὶ οὐκ ἐπερίψατε ἑαυτῶν τὰς
μερίμνας ἐπὶ τὸν κύριον, ἀλλὰ ἐθραύσθη ὑμῶν ἡ διάνοια, καὶ ἐπα-
4 λαιώθητε ταῖς λύπαις ὑμῶν‘. [4]‚Διὰ τί οὖν ἐν καθέδρᾳ ἐκάθητο,
ἤθελον γνῶναι, κύριε‘. ‚Ὅτι πᾶς ἀσθενὴς εἰς καθέδραν καθέζεται
διὰ τὴν ἀσθένειαν αὐτοῦ, ἵνα συγκρατηθῇ ἡ ἀσθένεια τοῦ σώματος
1 αὐτοῦ. ἔχεις τὸν τύπον τῆς πρώτης ὁράσεως. XII. τῇ δὲ
ἀνάσχου, ἐπεὶ οὐ συνίω οὐδέν, καὶ ἡ καρδία μου πεπώρωται ἀπὸ τῶν προτέρων μου πράξεων. συνέτισόν με, ὅτι λίαν ἄφρων εἰμὶ καὶ ὅλως οὐδὲν νοῶ.‘ [2]ἀποκριθείς μοι λέγει ‚Ἐγώ,‘ φησίν, ‚ἐπὶ τῆς μετανοίας εἰμὶ καὶ πᾶσιν τοῖς μετανοοῦσιν σύνεσιν δίδωμι. ἢ οὐ δοκεῖ σοι, φησίν, αὐτὸ τοῦτο τὸ μετανοῆσαι σύνεσιν εἶναι; τὸ μετανοῆσαι,‘ φησίν, ‚σύνεσίς ἐστιν μεγάλη. συνίει γὰρ ὁ ἁμαρτήσας ὅτι πεποίηκεν τὸ πονηρὸν ἔμπροσθεν τοῦ κυρίου, καὶ ἀναβαίνει ἐπὶ τὴν καρδίαν αὐτοῦ ἡ πρᾶξις ἣν ἔπραξεν, καὶ μετανοεῖ καὶ οὐκέτι ἐργάζεται τὸ πονηρόν, ἀλλὰ τὸ ἀγαθὸν πολυτελῶς ἐργάζεται καὶ ταπεινοῖ τὴν ἑαυτοῦ ψυχὴν καὶ βασανίζει, ὅτι ἥμαρτεν. βλέπεις οὖν, ὅτι ἡ μετάνοια σύνεσίς ἐστιν μεγάλη. [3]‚Διὰ τοῦτο οὖν‘, φημί, ‚κύριε, ἐξακριβάζομαι παρὰ σοῦ πάντα· πρῶτον μὲν ὅτι ἁμαρτωλός εἰμι, ἵνα γνῶ ποῖα ἔργα ἐργαζόμενος ζήσομαι, ὅτι πολλαί μού εἰσιν αἱ ἁμαρτίαι καὶ ποικίλαι.‘ ‚Ζήσῃ‘, φησίν, ‚ἐὰν τὰς ἐντολάς μου φυλάξῃς καὶ πορευθῇς ἐν αὐταῖς· καὶ ὃς ἂν ἀκούσας τὰς ἐντολὰς ταύτας φυλάξῃ, ζήσεται τῷ θεῷ.‘

III. ‚Ἔτι,‘ φημί, ‚κύριε, προσθήσω τοῦ ἐπερωτῆσαι.‘ ‚Λέγε‘, φησίν. ‚Ἤκουσα‘, φημί, ‚κύριε, παρά τινων διδασκάλων, ὅτι ἑτέρα μετάνοια οὐκ ἔστιν εἰ μὴ ἐκείνη, ὅτε εἰς ὕδωρ κατέβημεν καὶ ἐλάβομεν ἄφεσιν ἁμαρτιῶν ἡμῶν τῶν προτέρων.‘ [2]λέγει μοι ‚Καλῶς ἤκουσας· οὕτω γὰρ ἔχει. ἔδει γὰρ τὸν εἰληφότα ἄφεσιν ἁμαρτιῶν

Mand. IV, 2 p. 41, 4—9. Clemens Alex. Strom. II, 12, 55 p. 458 ὁ δὲ αὐτὸς (ὁ Ποιμήν) καὶ τὴν μετάνοιαν σύνεσιν εἶναί φησι μεγάλην· μετανοῶν γὰρ ἐφ' οἷς ἔδρασεν οὐκ ἔτι ποιεῖ ἢ λέγει, βασανίζων δὲ ἐφ' οἷς ἥμαρτεν τὴν ἑαυτοῦ ψυχὴν ἀγαθοεργεῖ.

Mand. IV, 3 p. 41, 21—42, 16. Clemens Alex. postquam l. l. addidit: ἄφεσις τοίνυν ἁμαρτιῶν μετανοίας διαφέρει, ἄμφω δὲ δείκνυσι τὰ ἐφ' ἡμῖν, pergit

Mand. IV, II. 1. ανασχου S^c L.[2] (v.) p. ae. et edd., ανεσχου S | πεπώρωται L.[2] v. (ae.?) et edd., πεπηρωται S. p. 2. μου πράξεων L.[2] p. ae. et edd., πραξεων S. v. 3. ουδεν S^c L.[2] ed. pr. Ti. Hg.[1], ουθεν S. Gh. F. 5. αυτο τουτο το μετανοησαι συνεσιν ειναι S. p. ae. Hg.[1] F., ὡς αὐτὸ τοῦτο τὸ μετανοῆσαι σύνεσις (super νε notato θε) ἐστὶ μεγάλη L.[2] ed. pr. Ti. 5. 6. το μετανοησαι — μεγάλη S. v. p. ae. Hg.[1] Gh. F., om. L.[2] ed. pr. Ti. 5 sq. φησιν S. v. Hg.[1] Gh. F., φημί p., om. ae. 6. συνιει S. v. p. ae. Hg.[1] Gh. F., συνῆκε L.[2] ed. pr. Ti. | ὁ ἁμαρτήσας L.[2] v. p. ae. et edd., ο ανηρ ο αμαρτησας S. | πεποιηκεν S. Hg.[1] Gh. F., ἐποίησε L.[2] ed. pr. Ti. 7. εμπροσθεν του S. Hg.[1] Gh. F., ἔναντι L.[2] ed. pr. Ti. | ἀναβαίνει v. ae. Hg.[1] Gh. F., αναβενει S., ἀνέβη L.[2] ed. pr. Ti. 8. αυτου S^c L.[2] et edd., αυτης S. | μετανοει και S. v. p. ae. Hg.[1] Gh. F., μετανοήσας L.[2] ed. pr. Ti. 10. εαυτου ψυχην S. Hg.[1] Gh. F., ψυχὴν αὐτοῦ L.[2] ed. pr. Ti. | ἥμαρτεν Clem. Al. S. v. p. Hg.[1] et edd., ημαρτον L.[2] | ουν S. v. ae. et edd., ουν φησιν L.[2] p. 11. συνεσις $S^{a.c}$ L.[2] v. p. ae. et edd., om. S. εστιν S. Gh. F., εστι L.[2] ed. pr. Ti. Hg.[1] | ουν S^c L.[2] et edd., om. S. 14. ἐὰν τὰς v. p. ae. et edd., ἐὰν τὰς ἐν τὰς L.[2] 15. ἀκούσας v. p. ae. et edd., ἀκούσῃς L.[2]

III. 17. 18. ἔτι — φησίν L.[2] ae. et edd., paene om. v. p. 19. ἐκείνη (super η scripto ν) L.[2] 20. τῶν προτέρων (cf. p. 42, 5) L.[2] p. ae. et edd., iam non peccare, sed in castitate permanere (cf. p. 42, 1) v. 21. ἔδει γὰρ — ἁμαρτιῶν L.[2] p. ae. et edd., om. v. (cf. l. 20). | τὸν Clem. Al. p. ae. Hg[1]. Gh. F., τινα L.[2] Ti.

3 μηκέτι ἁμαρτάνειν, ἀλλ' ἐν ἁγνείᾳ κατοικεῖν. [3]ἐπεὶ δὲ πάντα ἐξακριβάζῃ, καὶ τοῦτό σοι δηλώσω, μὴ διδοὺς ἀφορμὴν τοῖς μέλλουσι πιστεύειν ἢ τοῖς νῦν πιστεύσασιν εἰς τὸν κύριον. οἱ γὰρ νῦν πιστεύσαντες ἢ μέλλοντες πιστεύειν μετάνοιαν ἁμαρτιῶν οὐκ ἔχουσιν, ἄφεσιν δὲ ἔχουσι τῶν προτέρων ἁμαρτιῶν αὐτῶν.
4 [4]τοῖς οὖν κληθεῖσι πρὸ τούτων τῶν ἡμερῶν ἔθηκεν ὁ κύριος μετάνοιαν. καρδιογνώστης γὰρ ὢν ὁ κύριος καὶ πάντα προγινώσκων ἔγνω τὴν ἀσθένειαν τῶν ἀνθρώπων καὶ τὴν πολυπλοκίαν τοῦ διαβόλου, ὅτι ποιήσει τι κακὸν τοῖς δούλοις τοῦ θεοῦ καὶ πονηρεύ-
5 σεται εἰς αὐτούς. [5]πολύσπλαγχνος οὖν ὢν ὁ κύριος ἐσπλαγχνίσθη ἐπὶ τὴν ποίησιν αὐτοῦ καὶ ἔθηκεν τὴν μετάνοιαν ταύτην, καὶ ἐμοὶ ἡ ἐξ-
6 ουσία τῆς μετανοίας ταύτης ἐδόθη. [6]ἀλλὰ ἐγώ σοι λέγω', φησί· ,μετὰ τὴν κλῆσιν ἐκείνην τὴν μεγάλην καὶ σεμνὴν ἐάν τις ἐκπειρασθεὶς ὑπὸ τοῦ διαβόλου ἁμαρτήσῃ, μίαν μετάνοιαν ἔχει. ἐὰν δὲ ὑπὸ χεῖρα ἁμαρτάνῃ καὶ μετανοήσῃ, ἀσύμφορόν ἐστι τῷ ἀνθρώπῳ τῷ τοιούτῳ·
7 δυσκόλως γὰρ ζήσεται.' [7]λέγω αὐτῷ· ,Ἐζωοποιήθην ταῦτα παρὰ σοῦ ἀκούσας οὕτως ἀκριβῶς· οἶδα γὰρ ὅτι, ἐὰν μηκέτι προσθήσω

c. 13. §. 56. 57 p. 459: τὸν οὖν εἰληφότα τὴν ἄφεσιν τῶν ἁμαρτιῶν οὐκέτι ἁμαρτάνειν χρή· ἐπεὶ γὰρ τῇ πρώτῃ καὶ μόνῃ μετανοίᾳ τῶν ἁμαρτιῶν — αὕτη ἂν εἴη τῶν προϋπαρξάντων κατὰ τὸν ἐθνικὸν καὶ πρῶτον βίον, τὸν ἐν ἀγνοίᾳ λέγω — αὐτίκα τοῖς κληθεῖσι πρόκειται μετάνοια ἡ καθαίρουσα τὸν τόπον τῆς ψυχῆς ἀπὸ τῶν πλημμελημάτων, ἵνα ἡ πίστις θεμελιωθῇ. καρδιογνώστης δὲ ὢν ὁ κύριος καὶ τὰ μέλλοντα προγινώσκων τό τε εὐμετάβολον τοῦ ἀνθρώπου καὶ τὸ παλίμβολον καὶ πανοῦργον τοῦ διαβόλου ἄνωθεν ἀρχῆθεν προεῖδεν, ὡς ζηλώσας ἐπὶ τῇ ἀφέσει τῶν ἁμαρτιῶν τὸν ἄνθρωπον προστρίψηταί τινας αἰτίας τῶν ἁμαρτημάτων τοῖς δούλοις τοῦ θεοῦ, φρονίμως πονηρευόμενος, ὅπως δὴ καὶ αὐτοὶ συνεκπέσοιεν αὐτῷ. ἔδωκεν οὖν ἄλλην ἐπὶ τοῖς κἂν τῇ πίστει περιπίπτουσί τινι πλημμελήματι, πολυέλεος ὤν, μετάνοιαν δευτέραν, ἥν εἴ τις ἐκπειρασθείη μετὰ τὴν κλῆσιν, βιασθεὶς δὲ καὶ κατασοφισθείς, μίαν ἔτι μετάνοιαν ἀμετανόητον λάβῃ· — — αἱ δὲ συνεχεῖς καὶ ἐπάλληλοι ἐπὶ τοῖς ἁμαρτήμασι μετάνοιαι οὐδὲν τῶν καθάπαξ μὴ πεπιστευκότων διαφέρουσιν ἢ μόνῳ τῷ συναισθέσθαι ὅτι ἁμαρτάνουσι.

Mand. IV, III. 1. ἁγνείᾳ v. p. ae. et edd., ἀγνοίᾳ L.[2] (Gh.). 3. 4. οἱ γὰρ νῦν — πιστεύειν L.[2] v. p. ae. et edd., om. p. 4. 5. μετάνοιαν ἁμαρτιῶν. in L.[2] super μετάν. notari μεγάλην μετάνοιαν, super ὢν vero αν testatur Gh. 7—12. καρδιογνωστης — σοι [λεγ]ω φη. ultimum codicis S. fragmentum. 7. γὰρ S. p. ae. Hg.[1] Gh. F., om. L.[2] ed. pr. Ti. 8. ἔγνω L.[2] v. p. ae., in S. fortasse supplendum est προεγνω. 9 sq. πονηρευσεται S[c] v. p. Hg.[1] Gh. F., πορηρευσεται S., πονηρεύεται L.[2] ed. pr. Ti. 10. [πολυσπλαγχ]νος S. (Ti.) Hg.[1] Gh. F., πολυεύσπλαγχνος L.[2] ed. pr. Ti. | ων S. (in lacuna) Ang. Hg.[1] Gh. F., om. L.[2] Ti. εσπλαγχνισθη S. Hg.[1] Gh. F., εὐσπλαγχνίσθη L.[2] ed. pr. Ti. 12. εγω [σοι λεγ]ω S. Hg.[1] Gh. F., λέγω σοι L.[2] ed. pr. Ti. 13. κλῆσιν v. p. ae. et edd., θλῆσιν L.[2] 15. μετανοήσῃ v. p. ae. Hg.[1] Gh. F., οὐ μετανοήσῃ L.[2] ed. pr. Ti., πυκνῶς μετανοήσῃ Lipsius (Z. f. w. Th. 1865. I. p. 33), cf. Mand. XI, 4. | τῷ τοιούτῳ (cf. Sim. VI, 5, 7) v. (homini talia agenti) p. (eiusmodi sectae homo) ae. (illi homini) Hg.[1] Gh. F., τὸ τοιοῦτον L.[2] ed. pr. Ti. 16. ζήσεται L.[2] ae. et edd., ζήσεται θεῷ v. p. Hb. p. 43, 2. ταυτα v. ae. et edd., ταὐτὰ L.[2] p.

ταῖς ἁμαρτίαις μου, σωθήσομαι.' ,Σωθήσῃ,' φησίν, ,καὶ πάντες ὅσοι ἐὰν ταῦτα ποιήσωσιν.'

IV. Ἠρώτησα αὐτὸν πάλιν λέγων ,Κύριε, ἐπεὶ ἅπαξ ἀνέχῃ μου, 1
ἔτι μοι καὶ τοῦτο δήλωσον.' ,Λέγε,' φησίν. ,Ἐὰν γυνή', φημί, ,κύ-
5 ριε, ἢ πάλιν ἀνήρ τις κοιμηθῇ, καὶ γαμήσῃ τις ἐξ αὐτῶν, μήτι ἁμαρ-
τάνει ὁ γαμῶν;' [2],Οὐχ ἁμαρτάνει', φησίν· ,ἐὰν δὲ ἐφ' ἑαυτῷ μείνῃ 2
τις, περισσοτέραν ἑαυτῷ τιμὴν καὶ μεγάλην δόξαν περιποιεῖται πρὸς
τὸν κύριον· ἐὰν δὲ καὶ γαμήσῃ, οὐχ ἁμαρτάνει. [3]τήρει οὖν τὴν 3
ἁγνείαν καὶ τὴν σεμνότητα, καὶ ζήσῃ τῷ θεῷ. ταῦτά σοι ὅσα λαλῶ
10 ἢ καὶ μέλλω λαλεῖν, φύλασσε ἀπὸ τοῦ νῦν, ἀφ' ἧς μοι παρεδόθης
ἡμέρας, καὶ εἰς τὸν οἶκόν σου κατοικήσω. [4]τοῖς δὲ προτέροις σου 4
παραπτώμασιν ἄφεσις ἔσται, ἐὰν τὰς ἐντολάς μου φυλάξῃς. καὶ πᾶσι
δὲ ἄφεσις ἔσται, ἐὰν τὰς ἐντολάς μου ταύτας φυλάξωσι καὶ πο-
ρευθῶσιν ἐν τῇ ἁγνότητι ταύτῃ.'

15 ## Ἐντολὴ ε'.

I. ,Μακρόθυμος', φησί, ,γίνου καὶ συνετός, καὶ πάντων τῶν 1
πονηρῶν ἔργων κατακυριεύσεις καὶ ἐργάσῃ πᾶσαν δικαιοσύνην
[2]ἐὰν γὰρ μακρόθυμος ἔσῃ, τὸ πνεῦμα τὸ ἅγιον τὸ κατοικοῦν ἐν 2

Mand. V. p. 43, 16—p. 48, 5. Pseudo-Athanasius ad Antiochum c. 5. p. 15 sq.: Ἄκουε καὶ τῆς πέμπτης ἐντολῆς· φύλασσε τὴν ἁγνείαν (etiam Dress. ἄνειαν!) καὶ μακροθυμίαν καὶ γίνου συνετός (ἐντολῆς· μακρόθυμος γίνου καὶ συνετός A.), καὶ πάντων τῶν πονηρῶν ἔργων κατακυριεύσεις (πάντων ἔργων πονηρῶν κατακυριεύσῃ A.) καὶ ἐργάσῃ πᾶσαν δικαιοσύνην (haec om. A.). ἐὰν γὰρ μακρόθυμος ἔσῃ, τὸ πνεῦμα τὸ ἅγιον κατοικοῦν ἐν σοὶ (πανάγιον κατοικήσει ἐν σοί A.) καθαρὸν ἔσται, μὴ σκοτούμενον ὑπὸ πονηροῦ πνεύματος, μηδὲ μιαινόμενον ὑπὸ τῆς ὀξυχολίας. ἐν γὰρ τῇ μακροθυμίᾳ ὁ κύριος κατοικεῖ (καθαρὸν ἔσται — κατοικεῖ om. A.), ἐν δὲ τῇ ὀξυχολίᾳ ὁ διάβολος. ἀμφότερα οὖν τὰ πνεύματα ἀσύμφορόν ἐστιν ἐν ταὐτῷ κατοικεῖν (οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, ἐν ᾧ κατοικοῦσιν ἀμφότερα A.)· ἐὰν γὰρ λαβὼν ἀψινθίου μικρὸν εἰς κεράμιον μέλιτος ἐπιχέῃς, οὐχὶ ὅλον τὸ μέλι ἀφανίζεται καὶ τοσοῦτον μέλι ὑπὸ τοῦ ἐλαχίστου ἀψινθίου ἀπόλλυται; ἐὰν δὲ εἰς το μέλι μὴ βληθῇ τὸ ἀψίνθιον, γλυκὺ εὑρίσκεται τὸ μέλι καὶ εὔχρηστον πάντως γίνεται τῷ δεσπότῃ. βλέπε οὖν ὅτι ἡ μακροθυμία γλυκυτάτη ἐστὶν ὑπὲρ τὸ μέλι καὶ εὔχρηστός ἐστι τῷ κυρίῳ, καὶ ἐν αὐτῇ κατοικεῖ. ἡ δὲ ὀξυχολία τὴν μακροθυμίαν μιαίνει (ἐὰν γὰρ λαβὼν — μιαίνει om. A.). ἄκουε δὲ καὶ τὴν ἐνέργειαν τῆς ὀξυχολίας, πῶς πονηρά ἐστιν καὶ πλανᾷ τοὺς δούλους τοῦ θεοῦ καὶ καταστρέφει τῇ ἑαυτῆς ἐνεργείᾳ

Mand. IV, IV. 3. κύριε v. p. ae. Hg.[1] Gh. F., καὶ L.[2] ed. pr. Ti. 6. ἐφ' ἑαυτῷ (cf. c. I. p. 40, 14) v. (per se, Gh. super se), p. (si continuerit se et sic manserit) ae. (si per se manserit nec matrimonium inierit) Hg.[1] (in notis) Gh. F., ἐν ἑαυτῷ L.[2] ed. pr. Ti. 7. μεγάλην v. p. ae. et edd., μεγάλως L.[2] 8. ἐὰν δὲ καὶ γαμήσῃ, οὐχ ἁμαρτάνει L.[2] p. ae. et edd., om. v. 10. μέλλω p. ae. et edd., μέλω L.[2] 11. κατοικήσω L.[2] p. ae. et edd., habito v. 12. ἄφεσις. in L.[2] super ς notatum ν testatur Gh. | ἐάν. praemittendum esse ὅσοι (cf. Mand. VIII, 12 al.) coni. Dind. Gh. 13. 14. καὶ πορευθῶσιν — ταύτῃ L.[2] (πορευθεῖσιν) p. ae. et edd., om. v.

Mand. V, I. 18. ἔσῃ L.[2] (correctum ex ἧς) Ps.-Ath. v. p. ae. et edd.

σοὶ καθαρὸν ἔσται, μὴ ἐπισκοτούμενον ὑπὸ ἑτέρου πονηροῦ πνεύματος, ἀλλ' ἐν εὐρυχώρῳ κατοικοῦν ἀγαλλιάσεται καὶ εὐφρανθήσεται μετὰ τοῦ σκεύους, ἐν ᾧ κατοικεῖ, καὶ λειτουργήσει τῷ θεῷ
3 ἐν ἱλαρότητι, ἔχον τὴν εὐθηνίαν ἐν ἑαυτῷ· [3]ἐὰν δὲ ὀξυχολία τις προσέλθῃ, εὐθὺς τὸ πνεῦμα τὸ ἅγιον, τρυφερὸν ὄν, στενοχωρεῖται, μὴ ἔχον τὸν τόπον καθαρόν, καὶ ζητεῖ ἀποστῆναι ἐκ τοῦ τόπου· πνίγεται γὰρ ὑπὸ τοῦ πονηροῦ πνεύματος, μὴ ἔχον τόπον λειτουργῆσαι τῷ κυρίῳ, καθὼς βούλεται, μιαινόμενον ὑπὸ τῆς ὀξυχολίας. ἐν γὰρ τῇ μακροθυμίᾳ ὁ κύριος κατοικεῖ, ἐν δὲ τῇ ὀξυ-
4 χολίᾳ ὁ διάβολος. [4]ἀμφότερα οὖν τὰ πνεύματα ἐπὶ τὸ αὐτὸ κατοικοῦντα ἀσύμφορά ἐστι καὶ πονηρὰ τῷ ἀνθρώπῳ ἐκείνῳ, ἐν ᾧ
5 κατοικοῦσιν. [5]ἐὰν γὰρ λαβὼν ἀψινθίου μικρὸν λίαν εἰς κεράμιον μέλιτος ἐπιχέῃς, οὐχὶ ὅλον τὸ μέλι ἀφανίζεται, καὶ τοσοῦτον μέλι ὑπὸ τοῦ ἐλαχίστου ἀψινθίου ἀπόλλυται καὶ ἀπόλλυσι τὴν γλυκύ-

(καὶ καταστρ. — ἐνεργείᾳ om. A.). οὐκ ἀποπλανᾷ δὲ τοὺς ὄντας πλήρεις ἐν πίστει, οὐδὲ ἐνεργῆσαι δύναται (ἐνεργεῖ A.) εἰς αὐτούς, ὅτι ἡ δύναμις τοῦ κυρίου (θεοῦ A.) μετ' αὐτῶν ἐστίν. ἀλλὰ ἀποπλανᾷ (ἀποπλανᾷ δέ A.) τοὺς διψύχους. ὅταν γὰρ (γὰρ om. A.) ἴδῃ τοὺς τοιούτους ἀνθρώπους (ἀνθρ. om. A.) εὐσταθοῦντας, παρεμβάλλει (παραβάλλει A.) ἑαυτὴν εἰς τὴν καρδίαν καὶ ἀνθρώπου, καὶ οὕτως πικραίνεται (κρίνεται ὁ A.) ἄνθρωπος ἕνεκεν βιωτικῶν πραγμάτων ἢ φίλου τινὸς ἢ περὶ δόσεως καὶ λήψεως ἢ περὶ τοιούτων μωρῶν πραγμάτων (ἢ φίλου — πραγμάτων om. A.). ταῦτα (γὰρ add. A.) πάντα μωρά ἐστι καὶ κενὰ καὶ ἀσύμφορα τοῖς δούλοις τοῦ θεοῦ (καὶ ἀσυμφ. τ. δ. τ. θ. om. A.), ἡ δὲ μακροθυμία μεγάλη ἐστὶ καὶ ὀχυρά, ἔχουσα τὴν δύναμιν ἰσχυρὰν καὶ καθημένην ἐν πλατυσμῷ μεγάλῳ. ἱλαρά (ἡ δὲ μακροθυμία εὐπρόσδεκτός ἐστι καὶ ἰσχυρά A.), ἀγαλλιωμένη καὶ ἀμέριμνος οὖσα δοξάζει τὸν κύριον ἐν παντὶ

Mand. V, I. 1. ἑτέρου πονηροῦ L.[2] (post ἑτ. compendium, cuius prima littera π) Ant. v. ae. ed. pr. Hg.[1] Gh. F., πονηροῦ Ps.-Ath. p., ἑτέρου Ti. 2. ἐν in L.[2] correctum esse videtur ex ἐπί. | ευρυχώρῳ Ant. v. p. ae. (Ti.) Hg.[1] Gh. F., εὐρυτέρῳ L.[2] (sed ω notato super τε) ed. pr. 3. μετὰ Ant. v. p. ae. Gh. F., καὶ μετὰ L.[2] ed. pr. Ti. Hg.[1] | καὶ λειτουργήσει Ant. v. (et apparebit, l. apparabit) p. ae. Gh. F., λειτουργήσει L.[2] ed. pr. Ti. Hg.[1] 4. ὀξυχολία τις Ant. v. p. ae. et edd., ὀξυχολίσῃ L.[2] (ab ipso Simonide emendatus). 6. ἔχον edd., ἔχων L.[2] 7. γὰρ ὑπὸ v. p. (nam aspernatur compressum pati cum spiritu malo ae.) Hg.[1] Gh. F., γὰρ ῥύπῳ L.[2] ed. pr. Ti. 8. ὑπὸ Ps.-Ath. Hg.[1] Gh. F., ἀπὸ L.[2] ed. pr. Ti. 10. οὖν L.[2] (correctum esse e δὲ videtur) Ps.-Ath. Ant. v. p. ed. pr. Hg.[1] Gh. F., δὲ Ti. 10 sq. κατοικοῦντα Ant. v. p. ae. Ti. Hg.[1] Gh. F., κατοικεῖν (corr. ex κατοικοῦν καὶ) L.[2] Ps.-Ath. ed. pr. 11. ἀσύμφορά ἐστι καὶ πονηρὰ L.[2] (ubi correctum est ἀσύμφορον) p. (invicem contrarii et inutiles sunt, et male est) Ti. Hg.[1], ἀσύμφορόν ἐστιν καὶ πονηρὸν Ant. ae. (cf. Ps.-Ath.) Gh. F., perniciosum est v., ἀσύμφωνα καὶ (cf. p.) praemittenda esse censuit Hb. 12. ἀψινθίου Ps.-Ath. v. ae. Hg.[1] Gh. F., ἀψίνθιον L.[2] Ant. p. ed. pr. Ti. | εις Ps.-Ath. Ant. v. p. ae. Hg.[1] Gh. F., καὶ εἰς L., [καὶ] εἰς ed. pr. Ti. 13. 14. τοσοῦτον μέλι ὑπὸ τοῦ ἐλαχίστου ἀψινθίου ἀπόλλυται Ps.-Ath. Ant. (om. τοῦ) v. (tantum mel a modico absinthio disperit) p. (quia omnem dulcedinem suam ex modico amaritudinis amittit) ae. (tanta multitudo mellis illo modico absinthio corrumpetur) Gh. F., πικρὸν λίαν L.[2] ed. pr. Ti. Hg.[1] 14. καὶ ἀπόλλυσι L.[2] (correctum videtur ex ἀπολλύει) ed. pr. Ti. Gh. F., μικρὸν ἀπόλλυσι Hg.[1]

τητα τοῦ μέλιτος καὶ οὐκέτι τὴν αὐτὴν χάριν ἔχει παρὰ τῷ δεσπό-
τῃ, ὅτι ἐπικράνθη καὶ τὴν χρῆσιν αὐτοῦ ἀπώλεσεν; ἐὰν δὲ εἰς τὸ
μέλι μὴ βληθῇ τὸ ἀψίνθιον, γλυκὺ εὑρίσκεται τὸ μέλι καὶ εὔχρηστον
γίνεται τῷ δεσπότῃ αὐτοῦ. 6 βλέπε οὖν ὅτι ἡ μακροθυμία γλυκυ- 6
5 τάτη ἐστὶν ὑπὲρ τὸ μέλι καὶ εὔχρηστός ἐστι τῷ κυρίῳ, καὶ ἐν αὐ-
τῇ κατοικεῖ. ἡ δὲ ὀξυχολία πικρὰ καὶ ἄχρηστός ἐστιν. ἐὰν οὖν μι-
γῇ ἡ ὀξυχολία τῇ μακροθυμίᾳ, μιαίνεται ἡ μακροθυμία, καὶ οὐκ
ἔστιν εὔχρηστος τῷ θεῷ ἡ ἔντευξις αὐτῆς· 7 ,Ἤθελον', φημί, ,κύριε, 7
γνῶναι τὴν ἐνέργειαν τῆς ὀξυχολίας, ἵνα φυλάξωμαι ἀπ' αὐτῆς.'
10 ,Καὶ μήν', φησίν, ,ἐὰν μὴ φυλάξῃ ἀπ' αὐτῆς σὺ καὶ ὁ οἶκός σου,
ἀπώλεσάς σου τὴν πᾶσαν ἐλπίδα. ἀλλὰ φύλαξαι ἀπ' αὐτῆς· ἐγὼ
γὰρ μετὰ σοῦ εἰμί. καὶ πάντες δὲ ἀφέξονται ἀπ' αὐτῆς, ὅσοι ἂν
μετανοήσωσιν ἐξ ὅλης τῆς καρδίας αὐτῶν· μετ' αὐτῶν γὰρ ἔσομαι

καιρῷ, μηδὲν ἔχουσα ἐν ἑαυτῇ πικρόν, παραμένουσα διὰ παντὸς [ἐν?] πρᾳότητι καὶ ἡσυχίᾳ. , αὕτη οὖν ἡ μακροθυμία κατοικεῖ μετὰ τῶν πίστιν ἐχόντων ὁλόκληρος, ἡ δὲ ὀξυχολία πρῶτον μὲν μωρία ἐστὶν καὶ ἐλαφρία φρενῶν· εἶτα ἐκ τῆς ἀφροσύνης γίνεται πικρία, ἐκ δὲ τῆς πικρίας θυμός, ἐκ δὲ τοῦ θυμοῦ ὀργή, ἐκ δὲ τῆς ὀργῆς μῆνις. εἶτα ἡ μῆνις ἐκ τοσούτων κακῶν συνισταμένη γίνεται ἁμαρτία μεγάλη καὶ ἀνίατος. ὅταν γὰρ πάντα τὰ ἀνθρώπινα ταῦτα ἐν ἑνὶ ἀγγείῳ κατοικῇ, ὅπου καὶ τὸ πνεῦμα τὸ ἅγιον, οὐ χωρεῖ ἐκεῖνο τὸ ἄγγος, ἀλλ' ὑπερπλεονάζει (μηδὲν ἔχουσα — ὑπερπλεονάζει om. A.) τὸ τρυφερὸν πνεῦμα, μὴ ἔχον συνήθειαν μετὰ πονηροῦ πνεύματος καὶ σκληρότητος κατοικεῖν, ὑποχωρεῖ οὖν (οὖν om. A.) ἀπὸ τοῦ ἀνθρώπου τούτου (ἀπὸ τοῦ τοιούτου A.) καὶ ζητεῖ κατοικεῖν μετὰ πρᾳότητος (πραΰτητος A.) καὶ ἡσυχίας. εἶτα ὅταν (ὅταν δὲ A.) ἀποστῇ ἀπὸ τοῦ ἀνθρώπου, οὗ κατοικεῖ, γίνεται ὁ ἄνθρωπος ἐκεῖνος κενὸς ἀπὸ τοῦ πνεύματος τοῦ ἁγίου καὶ λοιπὸν πεπληρωμένος τῶν πνευμάτων τῶν πονηρῶν ἀκαταστατεῖ ἐν πάσῃ πράξει αὐτοῦ, περισπώμενος ὧδε κἀκεῖ ἀπὸ τῶν ἀνθρώπων τῶν πονηρῶν (καὶ λοιπὸν — πονηρῶν om. A.), καὶ ὅλως (ὅλος A.) ἀποτυφλοῦται ἀπὸ τῆς διανοίας τῆς ἀγαθῆς. οὕτως οὖν συμβαίνει πᾶσι τοῖς ὀξυχόλοις. ἀπέχου (ἄπεχε A.) οὖν ἀπὸ τῆς ὀξυχολίας (ἀπ' αὐτῆς A.), τοῦ πονηροῦ (πονηροτάτου A.) δαίμονος, ἔνδυσαι δὲ τὴν μακροθυμίαν καὶ ἀντίστηθι τῇ ὀξυχολίᾳ, καὶ ἔσῃ ἐπαινούμενος μετὰ τῆς σεμνότητος τῆς ἠγαπημένης ὑπὸ

Mand. V, 1. p. 45, 4. 5. Clemens Alex. Excerpt. ex prophet. §. 45. p. 1000: Η μακροθυμία γλυκύτης ἐστὶν ὑπὲρ τὸ μέλι.

Mand. V, I. 2. 3. ἐὰν δὲ εἰς τὸ μέλι μὴ βληθῇ τὸ ἀψίνθιον, γλυκὺ εὑρίσκεται τὸ μέλι καὶ Ps.-Ath. v. p. ae. Hg.[1] Gh. F., ἐὰν δὲ εἰς (correctum ἐπὶ sec. Ang., τις sec. Gh.) τὸ ἀψίνθιον μὴ βληθῇ μέλι, οὐδὲ εἰς μέλι τὸ ἀψίνθιον .... βληθῇ μέλι ουδὲ L.[2] (iam ex parte correcta). 4. βλέπε οὖν Ps.-Ath. v. ae. ed. pr., βλέπεις οὖν L.[2] (,ubi ex εις factum est ε, et οὖν postmodo superscriptum' Gh.) p. Hg.[1] Gh. F., βλέπεις Ant. Ti. 5. εὔχρηστος Ps.-Ath. v. p. ae. ed. pr. Hg.[1] Gh. F., εὔχρηστον L.[2] Ti. | κυρίῳ Ps.-Ath. Ant. v. Gh. F., θεῷ L.[2] p. ed. pr. Ti. Hg.[1] 6. κατοικεῖ Ps.-Ath. v. p. ae. Gh. F., ὁ κύριος κατοικεῖ L.[2] ed. pr. Ti. Hg.[1] 8. εὔχρηστος Ant. v. p. ae. ed. pr. Gh. F., εὔχρηστος τ.... (III vel IV litteris deletis) L.[2], εὔχρηστός [ποτε] Ti., εὔχρηστος τότε Hg.[1] 9. ἐνέργειαν v. (nequitiam, ut c. II, p. 46, 2) ed. pr. Hg.[1] Gh. F., ἐνεργεσίαν (Ti.) vel εὐεργεσίαν (Ang. Gh.) L.[2] | ἀπ' αὐτῆς (cf. l. 10. 11) Hg.[1] Gh. F., αὐτῆς L.[2] Ti., αὐτήν ed. pr. 10. φυλάξῃ ed. pr. Gh. F., φυλάξῃς L.[2] Ti. Hg.[1] 13. μετ' αὐτῶν v. p. ae. edd., μετ' αὐτῆς L.[2]

καὶ συντηρήσω αὐτούς· ἐδικαιώθησαν γὰρ πάντες ὑπὸ τοῦ σεμνοτάτου ἀγγέλου.' II. 1 'Ἄκουε νῦν', φησί, 'τὴν ἐνέργειαν τῆς ὀξυχολίας, πῶς πονηρά ἐστι, καὶ πῶς τοὺς δούλους τοῦ θεοῦ καταστρέφει τῇ ἑαυτῆς ἐνεργείᾳ, καὶ πῶς ἀποπλανᾷ αὐτοὺς ἀπὸ τῆς δικαιοσύνης· οὐκ ἀποπλανᾷ δὲ τοὺς πλήρεις ὄντας ἐν τῇ πίστει, οὐδὲ ἐνεργῆσαι δύναται εἰς αὐτούς, ὅτι ἡ δύναμις τοῦ κυρίου μετ' αὐτῶν ἐστίν. ἀποπλανᾷ δὲ τοὺς ἀποκένους καὶ διψύχους ὄντας. 2 ὅταν γὰρ ἴδῃ τοὺς τοιούτους ἀνθρώπους εὐσταθοῦντας, παρεμβάλλει ἑαυτὴν εἰς τὴν καρδίαν τοῦ ἀνθρώπου ἐκείνου, καὶ ἐκ τοῦ μηδενὸς ὁ ἀνὴρ ἢ ἡ γυνὴ ἐν πικρίᾳ γίνεται ἕνεκεν βιωτικῶν πραγμάτων, ἢ περὶ ἐδεσμάτων ἢ μικρολογίας τινὸς ἢ περὶ φίλου τινὸς ἢ περὶ δόσεως ἢ λήψεως ἢ περὶ τοιούτων μωρῶν πραγμάτων. ταῦτα γὰρ πάντα μωρά ἐστι καὶ κενὰ καὶ ἀσύμφορα τοῖς δούλοις τοῦ θεοῦ. 3 ἡ δὲ μακροθυμία μεγάλη ἐστὶ καὶ ὀχυρὰ καὶ ἰσχυρὰν δύναμιν ἔχουσα καὶ στιβαρὰν καὶ εὐθηνουμένη ἐν πλατυσμῷ μεγάλῳ, ἱλαρά, ἀγαλλιωμένη, ἀμέριμνος οὖσα, δοξάζουσα τὸν κύριον ἐν παντὶ καιρῷ, μηδὲν ἐν ἑαυτῇ ἔχουσα πικρόν, παραμένουσα διὰ παντὸς πραεῖα

κυρίου. βλέπε οὖν, μὴ παραλογίσῃ τὴν ἐντολὴν ταύτην. ἐὰν γὰρ ταύτην φυλάξῃς, δυνήσῃ καὶ τὰς λοιπὰς τηρῆσαι. ἴσχυε οὖν ἐν αὐταῖς καὶ ἐνδυναμοῦ καὶ νικήσεις καὶ ζήσῃ εἰς τοὺς αἰῶνας. ἀμήν (τὴν μακροθυμίαν καὶ τὴν ὑπομονήν, καὶ ζήσῃ εἰς τοὺς αἰῶνας A.).

Antiochus Hom. CX. p. 1204 sq.: Ἐὰν γάρ τις μακρόθυμος γένηται, τὸ πνεῦμα τὸ ἅγιον κατοικεῖ ἐν αὐτῷ καθαρόν, μὴ ἐπισκοτούμενον ὑπὸ ἑτέρου πονηροῦ πνεύματος, ἀλλ' ἐν εὐρυχώρῳ κατοικοῦν εὐφραίνεται μετὰ τοῦ σκεύους, οὗ κατοικεῖ, καὶ λειτουργεῖ τῷ κυρίῳ ἐν ἱλαρότητι πολλῇ. ἐὰν δέ τις ὀξυχολία ἐπέλθῃ, εὐθέως τὸ πνεῦμα τὸ ἅγιον στενοχωρεῖται, μὴ ἔχον τόπον καθαρόν, καὶ ζητεῖ ἀποστῆναι διὰ τὸ μὴ ἔχειν τόπον λειτουργῆσαι τῷ κυρίῳ, καθὼς βούλεται. ἐν γὰρ τῇ μακροθυμίᾳ ὁ κύριος κατοικεῖ, ἐν δὲ τῇ ὀξυχολίᾳ ὁ διάβολος. ἀμφότερα οὖν τὰ πνεύματα ἐπὶ τὸ αὐτὸ κατοικοῦντα ἀσύμφορόν ἐστιν

Mand. V, I. 1. ὑπὸ L.[2] (Ti. Gh.) Ti. Hg.[1] Gh. F., ἀπὸ (ὑπο?) L.[2] (Ang.), ἀπὸ ed. pr.
II. 2. νῦν, φησί (cf. Mand. VI, 2, 1) v. p. ae. Gh. F., φησί L.[2] ed. pr. Ti., φησί, καί (cf. Ps.-Ath.) ed. pr. Ti. Hg.[1] 4—6. ἀπὸ τῆς δικαιοσύνης — μετ' αὐτῶν ἐστίν L.[2] p. ae. et edd., om. v. (etiam antecedentia τῇ ἑαυτῆς ἐνεργείᾳ κτλ.) Ps.-Ath. Ant. 6. τοῦ κυρίου Ps.-Ath. (B.) p. ae. Hg.[1] Gh. F., τοῦ θεοῦ Ps. Ath. (A.) v., μου L.[2] Ti. 7. γὰρ Ps.-Ath. (B.) Ant. v. ed. pr. Hg.[1] Gh. F., δὲ L.[2] Ti., ergo p. 8. ἑαυτὴν Ps.-Ath. Ant. v. (p. ae.) et edd., ἑαυτοὺς L.[2] 9. 10. ὁ ἀνὴρ ἢ ἡ γυνὴ v. p. ae., ἡ γυνὴ ἢ ὁ ἀνὴρ L.[2] et edd. 10. γίνεται (super εται scripto ονται) L.[2] 10 sq. ἢ περὶ ἐδεσμάτων Ant. v. (p.) ae. ed. pr. Lipsius (Z. f. w. Th. 1865. III, 293) Hg.[1] Gh. F., ὑπέρ γε ἐδεσμάτων L.[2] 11. ἢ περὶ φίλου τινὸς Ps.-Ath. (om. περὶ) v. (p.) ae., om. L.[2] (Ant.) Ti., καὶ φίλου τινός ed. pr. 11. 12. δόσεως ἢ λήψεως Ps.-Ath. p. ae. ed. pr. Hg.[1] Gh. F., δόσεως ἄλλης L.[2] (Ti.), debito v. 13. ἀσύμφορα Ps.-Ath. v. p. ae. ed. pr. Hg.[1] Gh. F., ἄφρονα L.[2] Ti. 14. μεγάλην (superscr. μεγάλη) L.[2] | καὶ ὀχυρὰ Ps.-Ath. (B.) v. p. ae. Gh. F., καὶ ἰσχυρὰ Ant., om. L.[2] ed. pr. Ti. Hg.[1] 15. καὶ στιβαρὰν (Ant.) p. ae. Gh. F., στιβαρὰ L.[2] ed. pr. Ti. Hg.[1], om. v. | εὐθηνουμένη p. Hg.[1] Gh. F., εὐθυνουμένη L.[2] ed. pr. Ti., εὐθύνει Ant., sedet v. ae., καθημένην Ps.-Ath. (B.).

καὶ ἡσύχιος. αὕτη οὖν ἡ μακροθυμία κατοικεῖ μετὰ τῶν τὴν πίστιν ἐχόντων ὁλόκληρον. [4]ἡ δὲ ὀξυχολία πρῶτον μὲν μωρά ἐστιν, ἐλαφρά τε καὶ ἄφρων. εἶτα ἐκ τῆς ἀφροσύνης γίνεται πικρία, ἐκ δὲ τῆς πικρίας θυμός, ἐκ δὲ τοῦ θυμοῦ ὀργή, ἐκ δὲ τῆς ὀργῆς μῆνις· εἶτα ἡ μῆνις αὐτὴ ἐκ τοσούτων κακῶν συνισταμένη γίνεται ἁμαρτία μεγάλη καὶ ἀνίατος. [5]ὅταν γὰρ ταῦτα τὰ πνεύματα ἐν ἑνὶ ἀγγείῳ κατοικῇ, οὗ καὶ τὸ πνεῦμα τὸ ἅγιον κατοικεῖ, οὐ χωρεῖ τὸ ἄγγος ἐκεῖνο, ἀλλ' ὑπερπλεονάζει. [6]τὸ τρυφερὸν οὖν πνεῦμα, μὴ ἔχον συνήθειαν μετὰ πονηροῦ πνεύματος κατοικεῖν μηδὲ μετὰ σκληρότητος, ἀποχωρεῖ τοῦ ἀνθρώπου τοῦ τοιούτου καὶ ζητεῖ κατοικεῖν μετὰ πραότητος καὶ ἡσυχίας. [7]εἶτα ὅταν ἀποστῇ ἀπὸ τοῦ ἀνθρώπου ἐκείνου, οὗ κατοικεῖ, γίνεται ὁ ἄνθρωπος ἐκεῖνος κενὸς ἀπὸ τοῦ πνεύματος τοῦ δικαίου, καὶ τὸ λοιπὸν πεπληρωμένος τοῖς πνεύμασι τοῖς πονηροῖς ἀκαταστατεῖ ἐν πάσῃ πράξει αὐτοῦ, περισπώμενος ὧδε κἀκεῖσε ἀπὸ τῶν πνευμάτων τῶν πονηρῶν, καὶ ὅλως ἀποτυφλοῦται ἀπὸ τῆς διανοίας τῆς ἀγαθῆς. οὕτως οὖν συμβαίνει πᾶσι τοῖς ὀξυχόλοις. [8]ἀπέχου οὖν ἀπὸ τῆς ὀξυχολίας, τοῦ πονηροτάτου πνεύματος· ἔνδυσαι δὲ τὴν μακροθυμίαν καὶ ἀντίστα τῇ ὀξυχολίᾳ καὶ τῇ πικρίᾳ, καὶ ἔσῃ εὑρισκόμενος μετὰ

καὶ πονηρὸν τῷ ἀνθρώπῳ, οὗ κατοικοῦσιν ἀμφότερα. ἐὰν γὰρ λαβὼν ἀψίνθιον μικρὸν εἰς κεράμιον μελίτος ἐπιχέῃς, οὐχὶ ὅλον τὸ μέλι ἀφανίζεται, καὶ τοσοῦτον μέλι ὑπὸ ἐλαχίστου ἀψινθίου ἀπόλλυται; ἀπόλλυσι γὰρ τὴν γλυκύτητα καὶ πικρὸν γίνεται καὶ οὐκ ἔχει χάριν παρὰ τοῦ δισπότου αὐτοῦ, ὅτι ἐπικράνθη. βλέπεις ὅτι ἡ μακροθυμία γλυκυτάτη ἐστὶν ὑπὲρ τὸ μέλι καὶ εὐχάριστος (l. εὔχρηστος) τῷ κυρίῳ. ἡ δὲ ὀξυχολία καὶ πικρὰ καὶ ἄχρηστός ἐστιν. ἐὰν οὖν μιγῇ ἡ ὀξυχολία καὶ ἡ μακροθυμία, μιαίνεται ἡ μακροθυμία, καὶ οὐκ ἔστιν εὔχρηστος τῷ θεῷ ἡ ἔντευξις αὐτῆς. ἡ γὰρ ὀξυχολία πονηρὰ οὖσα καταστρέφει τοὺς δούλους τοῦ θεοῦ τῇ ἑαυτῆς ἐνεργείᾳ· ὅταν γὰρ ἴδῃ τοὺς ἀνθρώπους εὐσταθοῦντας, παραβάλλει ἑαυτὴν εἰς τὴν καρδίαν τοῦ ἀνθρώπου, καὶ ἐκ τοῦ μηδενὸς πικραίνεται ἕνεκεν βιωτικῶν πραγμάτων ἢ περὶ ἐδεσμάτων, ἢ ὅτι μικρολογία τις ἐνέπεσεν ματαία, ἢ περὶ δόσεως. ταῦτα γὰρ πάντα μωρά ἐστιν καὶ κενὰ τοῖς δούλοις τοῦ θεοῦ. ἡ δὲ μακροθυμία μεγάλη ἐστὶν καὶ ἰσχυρά, ἔχουσα δύναμιν στιβαράν, καὶ εὐθύνει καὶ ἀγαλλιωμένη ἀμέριμνος οὖσα δοξάζει τὸν κύριον, μηθὲν ἐν αὐτῇ ἔχουσα πικρόν, διότι πραῦς ἐστιν καὶ ἡσύχιος. αὕτη οὖν ἡ μακροθυμία κατοικεῖ μετὰ τῶν τὴν πίστιν ἐχόντων ὁλόκληρον. ἡ δὲ

Mand. V, II. 1. τὴν πιστιν Ps.-Ath. (B. om. τὴν) Ant. v. p. Hg.[1] Gh. F., τῆς πίστεως L.[2] 2. ὁλόκληρον L.[2] Ant. p. ae. Ti. Hg.[1] Gh. F., ὁλόκληρος Ps.-Ath. ed. pr. 5. αὐτὴ scripsi, αὕτη L.[2] v. Ti. Hg.[1] Gh. F., om. Ps.-Ath. p. ae. ed. pr. 6. ταῦτα τὰ πνεύματα L.[2] et edd., tam multi spiritus mali p., hi omnes spiritus ae., haec omnia v., πάντα τὰ ἀνθρώπινα ταῦτα Ps.-Ath. „fort. legendum ταῦτα πάντα vel πάντα ταῦτα" Gh. 7. οὗ L.[2] et edd., ὅπου Ps.-Ath. 10. ἀποχωρεῖ L.[2] Ti. Hg.[1], ἀποχωρεῖ ἀπὸ Ps.-Ath. (ὑποχωρεῖ) Ant. Gh. F. 12. γίνεται L.[2] et edd., εὐθέως (continuo p.) γίνεται proposuit Hb. 13. τὸ λοιπὸν L.[2] (custode in pagina antecedente) Ti. Hg.[1], λοιπὸν L.[2] (in textu) Ps.-Ath. ed. pr. Gh. F. 13 sq. πεπληρωμένος Ps.-Ath. Ant. v. p. ae. ed. pr. Hg.[1] Gh. F., πεπληρομένον L.[2], πεπληρωμένον Ti.

τῆς σεμνότητος τῆς ἠγαπημένης ὑπὸ τοῦ κυρίου. βλέπε οὖν μήποτε παρενθυμηθῇς τὴν ἐντολὴν ταύτην· ἐὰν γὰρ ταύτης τῆς ἐντολῆς κυριεύσῃς, καὶ τὰς λοιπὰς ἐντολὰς δυνήσῃ φυλάξαι, ἅς σοι μέλλω ἐντέλλεσθαι. ἴσχυε οὖν ἐν αὐταῖς καὶ ἐνδυναμοῦ, καὶ πάντες ἐνδυναμούσθωσαν, ὅσοι ἐὰν θέλωσιν ἐν αὐταῖς πορεύεσθαι.'

Ἐντολὴ ς'.

1 I. ,Ἐνετειλάμην σοι', φησίν, ,ἐν τῇ πρώτῃ ἐντολῇ ἵνα φυλάξῃς τὴν πίστιν καὶ τὸν φόβον καὶ τὴν ἐγκράτειαν'. ,Ναί', φημί, ,κύριε'. ,Ἀλλὰ νῦν θέλω σοι', φησίν, ,δηλῶσαι καὶ τὰς δυνάμεις αὐτῶν, ἵνα νοήσῃς, τίς αὐτῶν τίνα δύναμιν ἔχει καὶ ἐνέργειαν. διπλαῖ γάρ 2 εἰσιν αἱ ἐνέργειαι αὐτῶν· κεῖνται οὖν ἐπὶ δικαίου καὶ ἀδίκου· [2]σὺ οὖν πίστευε τῷ δικαίῳ, τῷ δὲ ἀδίκῳ μὴ πιστεύσῃς· τὸ γὰρ δίκαιον ὀρθὴν ὁδὸν ἔχει, τὸ δὲ ἄδικον στρεβλήν. ἀλλὰ σὺ τῇ ὀρθῇ ὁδῷ 3 πορεύου καὶ ὁμαλῇ, τὴν δὲ στρεβλὴν ἔασον. [3]ἡ γὰρ στρεβλὴ

ὀξυχολία ἄφρων ἐστίν. εἶτα ἐκ τῆς ἀφροσύνης γίνεται πικρία, ἐκ δὲ τῆς πικρίας θυμός, ἐκ δὲ τῆς ὀργῆς μῆνις. τὸ οὖν ἅγιον πνεῦμα ὡς τρυφερὸν ὂν καὶ μὴ ἔχον συνήθειαν μετὰ τοῦ σκληροῦ καὶ πονηροῦ πνεύματος ἀποχωρεῖ ἀπὸ τοῦ τοιούτου ἀνθρώπου καὶ ζητεῖ τοῦ κατοικῆσαι μετὰ τοῦ μακροθύμου, καὶ γίνεται ὁ ἄνθρωπος ἐκεῖνος κενὸς τοῦ πνεύματος τοῦ δικαίου καὶ ὅλως ἀποτυφλοῦται ἀπὸ τῆς διανοίας τῆς ἀγαθῆς.

Mand. VI, p. 48, 6—p. 52, 3. Pseudo-Athanasius ad Antiochum c. 6. p. 17 sq.: Ἄκουε καὶ τῆς ἕκτης ἐντολῆς· ἐνετειλάμην σοι ἐν τῇ πρώτῃ ἐντολῇ ἵνα φυλάξῃς τὴν πίστιν καὶ τὸν φόβον καὶ ἐγκρατεύσῃ (τὴν ἐγκράτειαν A.). ἀπεκρίθη ὁ Ἀντίοχος· Ναί, κύριε, οὕτως ἐστίν. λέγει (ἀπεκρίθη A.) αὐτῷ ὁ ἐπίσκοπος Ἀλλὰ νῦν θέλω σοι δηλῶσαι καὶ τὰς δυνάμεις αὐτῶν, ἵνα νοήσῃς τὴν δύναμιν ἣν ἔχουσι καὶ (τὴν add. A.) ἐνέργειαν. διπλαῖ γάρ εἰσιν. κεῖνται γὰρ (οὖν A.) ἐπὶ δικαίῳ (δικαίου A.) καὶ ἀδίκῳ (ἀδίκου A.). σὺ οὖν πίστευε τῷ δικαίῳ, τῷ δὲ ἀδίκῳ μὴ (μηδὲν A.) πιστεύσῃς. τὸ γὰρ δίκαιον ὀρθὴν ὁδὸν ἔχει, τὸ δὲ ἄδικον στρεβλήν (τὸ γὰρ — στρεβλήν om. A.) δύο εἰσὶν ἄγγελοι μετὰ τοῦ ἀνθρώπου, εἷς τῆς δικαιοσύνης καὶ εἷς τῆς πονηρίας (ὁ εἷς τῆς πονηρίας, καὶ ὁ εἷς τῆς δικαιοσύνης A.). καὶ (om. A.) ὁ μὲν τῆς δικαιοσύνης ἄγγελος τρυφερός εστι καὶ αἰσχυντηρὸς καὶ πρᾶος καὶ ἰσχυρός. ὅταν οὖν (οὖν om. A.) οὗτος ἐπὶ τὴν καρδίαν σου ἀναβῇ, εὐθέως λαλεῖ μετὰ σοῦ περὶ δικαιο-

Mand. V, II. 2. παρενθυμηθῇς in L.[2] correctum e πως (superscr. περ) ἐνθυμηθῇς. 4. ἴσχυε οὖν Ps.-Ath. (om. οὖν) v. p. ae. et edd., ἰσχυρὸν (ἰσχυροῦ, ἴσχυσον?) L.[2] | ἐν αὐταῖς Ps-Ant. (v. p.) ae. et edd., ἐν ἑαυταῖς L.[2] | καὶ ἐνδυναμοῦ L.[2] p. (ut constans animo sis) ae. et edd., ut vivas deo v. (cf. Ps.-Ath.). 4. 5. καὶ πάντες — πορεύεσθαι L.[2] (p.) ae. et edd., et quicunque servaverint haec mandata vivent deo v., om. Ps. Ath.

Mand. VI, I. 11. ἐπὶ δικαίου καὶ ἀδίκου (cf. Mand. VIII, 1, 1. 2) L.[2] (ubi e δικαίου καὶ ἀδίκου correctum esse retulit Ang. δικαίῳ καὶ ἀδίκῳ, sed super utroque ω notatum esse ου testati sunt Ti. Gh.) Hg.[1], ἐπὶ δικαίῳ καὶ ἀδίκῳ (cf. Mand. IV, I. p. 40, 9) Ps.-Ath. (B.) ed. pr. Ti. Gh. F.; δικαίου et ἀδίκου sunt neutra, non masculina. 12. μὴ L.[2] p. (ae.) et edd., μηδὲν v. Ps.-Ath. 13. ὀρθὴν Ps.-Ath. et edd., ὀρθὸν L.[2]

ὁδὸς τρίβους οὐκ ἔχει, ἀλλ' ἀνοδίας καὶ προσκόμματα πολλὰ καὶ τραχεῖά ἐστι καὶ ἀκανθώδης. βλαβερὰ οὖν ἐστὶ τοῖς ἐν αὐτῇ πορευομένοις. [4]οἱ δὲ τῇ ὀρθῇ ὁδῷ πορευόμενοι ὁμαλῶς περιπατοῦσι καὶ ἀπροσκόπως· οὔτε γὰρ τραχεῖά ἐστιν οὔτε ἀκανθώδης. βλέπεις οὖν ὅτι συμφορώτερόν ἐστι ταύτῃ τῇ ὁδῷ πορεύεσθαι'. [5],Ἀρέσκει μοι', φημί, ,κύριε, ταύτῃ τῇ ὁδῷ πορεύεσθαι'. ,Πορεύσῃ', φησί, ,καὶ ὃς ἂν ἐξ ὅλης καρδίας ἐπιστρέψῃ πρὸς κύριον, πορεύσεται ἐν αὐτῇ. II. ,ἄκουε νῦν', φησί, ,περὶ τῆς πίστεως. δύο εἰσὶν ἄγγελοι μετὰ τοῦ ἀνθρώπου, εἷς τῆς δικαιοσύνης καὶ εἷς τῆς πονηρίας. [2],Πῶς οὖν', φημί, ,κύριε, γνώσομαι τὰς αὐτῶν ἐνεργείας, ὅτι ἀμφότεροι ἄγγελοι μετ' ἐμοῦ κατοικοῦσιν'; [3]"Ακουε, φησί, καὶ σύνιε. ὁ μὲν τῆς δικαιοσύνης ἄγγελος τρυφερός ἐστι καὶ αἰσχυντηρὸς καὶ

σύνης, περὶ ἀγνείας, περὶ σεμνότητος καὶ περὶ αὐταρκείας (κ. π. αὐτ. om. A.) καὶ περὶ παντὸς ἔργου δικαίου καὶ περὶ πάσης ἀρετῆς ἐνδόξου (καὶ περὶ παντὸς ἔργου ἀγαθοῦ A.). ταῦτα πάντα ὅταν εἰς τὴν καρδίαν σου ἀναβῇ, γίνωσκε ὅτι ὁ ἄγγελος τῆς δικαιοσύνης μετὰ σοῦ ἐστίν. τούτῳ οὖν πίστευε καὶ τοῖς ἔργοις αὐτοῦ καὶ ἐγκρατὴς αὐτοῦ γενοῦ (τούτῳ — γενοῦ om. A.). ὅρα οὖν καὶ τοῦ ἀγγέλου τῆς πονηρίας τὰ ἔργα (αὐτοῦ τὰ πονηρὰ add. A.). πρῶτον (πρὸ A.) πάντων ὀξύχολός ἐστι καὶ πικρὸς καὶ ἄφρων, καὶ τὰ ἔργα αὐτοῦ πονηρά, καταστρέφοντα τοὺς δούλους τοῦ θεοῦ. ὅταν οὗτος ἐπὶ τὴν καρδίαν σου ἀναβῇ, γνῶθι αὐτὸν ἐπὶ (l. ἀπὸ) τῶν ἔργων αὐτοῦ (γνῶθι ὅτι ἐκ τοῦ πονηροῦ καὶ

Mand. VI, II. p. 49, 8—50, 11. Origenes de princ. III, 2, 4 (Opp. I, 140): sed et Pastoris liber haec eadem declarat dicens, quod bini angeli singulos quosque hominem comitentur, et si quando bonae cogitationes cor nostrum ascenderint, a bono angelo suggeri dicit, si vero contrariae, mali angeli dicit esse instinctum. Hom. XII in Luc. (Opp. III, 945 sq.): unicuique duo assistunt angeli, alter iustitiae, alter iniquitatis. si bonae cogitationes in corde nostro fuerint, et in animo iustitia pullularit, haud dubium quin nobis loquatur angelus Domini, si vero mala fuerint in nostro corde versata, loquitur nobis angelus diaboli. quomodo igitur per singulos homines bini sunt angeli, sic opinor etc. Hom. XXXV in Luc. (Opp. III, 973): quod si cui displicet, transeat ad volumen, quod titulo Pastoris scribitur, et inveniet cunctis hominibus duos adesse angelos, malum qui ad perversa exhortatur, et bonum qui ad optima quaeque persuadet.

Cassianus Collat. VIII, 17: nam quod unicuique nostrum duo cohaereant angeli, id est bonus et malus, scriptura testatur, de bonis quidem — —, de utrisque vero liber Pastoris plenissime docet. XIII, 12: adiacere autem homini in quamlibet partem arbitrii libertatem etiam liber ille qui dicitur Pastoris apertissime docet, in quo angeli unicuique nostrum adhaerere dicuntur, id est bonus et malus, in hominis vero opinione consistere, ut eligat quem sequatur.

Maximus Confessor Schol. in Dionys. Areopag. de div. nom. libr. (Opp. II, 126): καὶ ὅτι διὰ τῶν ἀγγέλων αἱ ψυχαὶ χειραγωγοῦνται αἱ ζωὴν ἀγγελικὴν ἐπιτηδεύουσαι· οὕτω καὶ ἐν τῷ Ποιμένι ἀνέγνωμεν.

Mand. VI, I. 5. συμφορώτερον edd., συμφερώτερον L.[2] | αρέσκει in L.[2] super ει notatum est η.
II. 8. νῦν L.[2] et edd., οὖν errore Hg.[1] 9. μετὰ v. p. ae. Ps.-Ath. et edd., om. L.[2] 11. σύνιε (cf. p. 51, 8. Sim. V, 5, 1. XI, 12, 1) v. p. Gh. F., συνιεῖς αὐτάς L.[2] ed. pr. Ti., σύνιε αὐτάς Hg.[1]

πραῢς καὶ ἡσύχιος. ὅταν οὖν οὗτος ἐπὶ τὴν καρδίαν σου ἀναβῇ, [εὐθέως λαλεῖ μετὰ σοῦ περὶ δικαιοσύνης, περὶ ἁγνείας, περὶ σεμνότητος καὶ περὶ αὐταρκείας καὶ περὶ παντὸς ἔργου δικαίου καὶ περὶ πάσης ἀρετῆς ἐνδόξου. ταῦτα πάντα ὅταν εἰς τὴν καρδίαν σου ἀναβῇ], γίνωσκε ὅτι ὁ ἄγγελος τῆς δικαιοσύνης μετὰ σοῦ ἐστί. ταῦτα οὖν ἐστὶ τὰ ἔργα τοῦ ἀγγέλου τῆς δικαιοσύνης. τούτῳ οὖν πίστευε καὶ τοῖς ἔργοις αὐτοῦ. [4]ὅρα νῦν καὶ τοῦ ἀγγέλου τῆς πονηρίας τὰ ἔργα. πρῶτον πάντων ὀξύχολός ἐστι καὶ πικρὸς καὶ ἄφρων, καὶ τὰ ἔργα αὐτοῦ πονηρά, καταστρέφοντα τοὺς δούλους τοῦ θεοῦ· ὅταν οὖν οὗτος ἐπὶ τὴν καρδίαν σου ἀναβῇ, γνῶθι αὐτὸν ἀπὸ τῶν ἔργων αὐτοῦ'. [5],Πῶς', φημί, ,κύριε, νοήσω αὐτόν, οὐκ ἐπίσταμαι'. ,Ἄκουε', φησίν, ,καὶ συνετὸς γίνου· ὅταν ὀξυχολία σοί τις προσπέσῃ ἢ πικρία, γίνωσκε ὅτι αὐτός ἐστιν ἐν σοί· εἶτα ἐπιθυμία πράξεων πολλῶν καὶ πολυτελείας ἐδεσμάτων πολλῶν καὶ

μισοκάλου εἰσίν A.). λέγει αὐτῷ ὁ δοῦξ (δοῦξ om. A.) Ἀντίοχος Πῶς, κύριε (κύριε om. A.), νοήσω (μὲν add. A.) αὐτὸν οὐκ ἐπίσταμαι, ἐὰν μὴ διδαχθῶ κατὰ λόγον. λέγει αὐτῷ ὁ ἐπίσκοπος Ἄκουε λεπτομερῶς καὶ συνετός (συν. c. A., in B. evanuit) γίνου (και μακρόθυμος add. A.). ὅταν ὀξυχολία σοί τις προσέλθῃ ἢ πικρία, γίνωσκε ὅτι αὐτός ἐστιν ἐν σοί (ὅταν — ἐν σοὶ om. A.). εἶτα λοιπὸν ἐπιθυμίαι πράξεων πολλῶν καὶ πολυτέλεια ἐδεσμάτων καὶ κραιπαλῶν πολλῶν καὶ ποικίλων τροφῶν καὶ οὐ δεόντων καὶ ἐπιθυμίαι γυναικῶν καὶ πλεονεξίαι, ὑπερηφανία τε καὶ ἀλαζονεία καὶ ὅσα τούτοις παραπλήσια (εἶτα λοιπὸν ἐπιθυμία γυναικῶν καὶ κραιπαλῶν πολλῶν καὶ ἐπιθυμία πράξεων, πλεονεξίας καὶ ὑπερηφανίας καὶ τὰ τούτοις ὅμοια A.). ταῦτα οὖν ὅταν ἐπὶ τὴν καρδίαν σου ἀναβῇ (ὅταν ταῦτα ἐπὶ τὴν καρδίαν σου ἀναβῶσιν A.), γίνωσκε ὅτι ὁ ἄγγελος τῆς πονηρίας ἐστὶν ἐν σοί (μετὰ σοῦ A.). σὺ οὖν ἐπιγνοὺς τὰ ἔργα αὐτοῦ ἀπόστα ἀπ' αὐτοῦ καὶ μηδὲν αὐτῷ πίστευε (σὺ οὖν — πίστευε om. A.). ἔχεις οὖν (οὖν om. A.) ἀμφοτέρων τῶν ἀγγέλων (τ. ἀγγ. om. A.) τὰς ἐνεργείας. σύνες αὐτάς. περὶ μὲν [τοῖς ἔργοις] τῆς πίστεως αὕτη ἐστὶν ἡ ἐντολή, ἵνα τοῖς ἔργοις τοῦ ἀγγέλου τῆς δικαιοσύνης πιστεύσῃς (σύνες αὐτὰς καὶ πίστευε τῷ ἀγγέλῳ τῆς δικαιοσύνης, ἀπὸ δὲ τοῦ ἀγγέλου τῆς πονηρίας ἀπόστηθι A.) καὶ ἐργασάμενος αὐτὰ ζήσῃς τῷ θεῷ, ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν (καὶ ἐργαζόμενος τὸ ἀγαθὸν ἔσῃ ηὐλογημένος εἰς τοὺς αἰῶνας A.).

Mand. VI, II. 2—5. εὐθέως λαλεῖ — σου ἀναβῇ v. (continuo loquitur tecum de iustitia, de pudicitia, de castitate, de benignitate, de indulgentia, de caritate, de pietate. haec omnia cum ascenderint in cor tuum) p. (continuo invenies temet ipsum loquentem de iustitia, de sanctitate, de castitate, de frugalitate, de omni opere probitatis et de omni virtute honesta. haec universa cum in cor tuum ascenderint) ae. (cogitare te faciet de iustitia et de abstinentia a fornicatione et de rebus bonis et eleemosyna et de omnibus. haec omnia cum tibi venerint in cor tuum) Ps.-Ath. Ant. ed. pr. Hg.[1] Gh. F., om. L.[2] (propter homoeoteleuton) Ti. (lacuna notata). 6. ταῦτα οὖν — δικαιοσύνης L.[2] (p.) ae. et edd., om. v. 7. νῦν v. p. ae. suasit Gh., recepit F., οὖν L.[2] Ps.-Ath. ed. pr. Ti. Hg.[1] Gh. 8. 9. καὶ πικρὸς καὶ ἄφρων Ps.-Ath. Ant. v. p. (ae.) ed. pr. Hg.[1] Gh. F., om. L.[2] Ti. 12. καὶ συνετὸς γίνου (cf. Mand. V, 1. p. 43, 16) Ps.-Ath. v. (et intellege) Hg.[1], om. L.[2] p. ae. ed. pr. Ti. Gh. F., 13. εἶτα L.[2] Ant. v. p. ae. et edd., εἶτα λοιπὸν Ps.-Ath. 14. πολυτελείας (cf. Mand. VIII, 3. p. 54, 13. XII, 2, 1. Sim. I. 10. 11) v. p., πολυτέλεια ae. Ps.-Ath. Ant. ed. pr. Hg.[1] Gh. F., πολυτέλειαν L.[2] (Gh.), πολυτέλειαι L.[2] (Ti.) Ti.

μεθυσμάτων καὶ κραιπαλῶν πολλῶν καὶ ποικίλων τρόπων οὐ δεόντων καὶ ἐπιθυμία γυναικῶν καὶ πλεονεξία καὶ ὑπερηφανία, πολυλογία τε καὶ ἀλαζονεία καὶ ὅσα τούτοις παραπλήσιά ἐστι καὶ ὅμοια. ταῦτα οὖν ὅταν ἐπὶ τὴν καρδίαν σου ἀναβῇ, γίνωσκε ὅτι ὁ ἄγγελος
5 τῆς πονηρίας ἐστὶν ἐν σοί. [6]σὺ οὖν ἐπιγνοὺς τὰ ἔργα αὐτοῦ ἀπόστα ἀπ' αὐτοῦ καὶ μηδὲν αὐτῷ πίστευε, ὅτι τὰ ἔργα αὐτοῦ πονηρά εἰσι καὶ ἀσύμφορα τοῖς δούλοις τοῦ θεοῦ. ἔχεις οὖν ἀμφοτέρων τῶν ἀγγέλων τὰς ἐργασίας· σύνιε αὐτὰς καὶ πίστευε τῷ ἀγγέλῳ τῆς δικαιοσύνης· [7]ἀπὸ δὲ τοῦ ἀγγέλου τῆς πονηρίας ἀπό-
10 στηθι, ὅτι ἡ διδαχὴ αὐτοῦ πονηρά ἐστι παντὶ ἔργῳ· ἐὰν γὰρ ᾖ τις πιστότατος ἀνήρ, καὶ ἡ ἐνθύμησις τοῦ ἀγγέλου τούτου ἀναβῇ ἐπὶ τὴν καρδίαν αὐτοῦ, δεῖ τὸν ἄνδρα ἐκεῖνον ἢ τὴν γυναῖκα ἐξαμαρτῆσαί τι. [8]ἐὰν δὲ πάλιν πονηρότατός τις ᾖ ἀνὴρ ἢ γυνή, καὶ ἀναβῇ ἐπὶ τὴν καρδίαν αὐτοῦ τὰ ἔργα τοῦ ἀγγέλου τῆς δικαιο-
15 σύνης, ἐξ ἀνάγκης δεῖ αὐτὸν ἀγαθόν τι ποιῆσαι. [9]βλέπεις οὖν', φησίν, ,ὅτι καλόν ἐστι τῷ ἀγγέλῳ τῆς δικαιοσύνης ἀκολουθεῖν, τῷ δὲ ἀγγέλῳ τῆς πονηρίας ἀποτάξασθαι. [10]τὰ μὲν περὶ τῆς πίστεως αὕτη ἡ ἐντολὴ δηλοῖ, ἵνα τοῖς ἔργοις τοῦ ἀγγέλου τῆς δικαιοσύνης

Antiochus Hom. LXI p. 1121: δύο γάρ εἰσιν ἄγγελοι μετὰ τοῦ ἀνθρώπου, εἷς τῆς δικαιοσύνης, εἷς τῆς πονηρίας. καὶ ὁ μὲν τῆς δικαιοσύνης ἄγγελος αἰσχυντηρὸς καὶ πραΰς καὶ ἡσύχιός ἐστιν. ὅταν οὖν οὗτος ἐπὶ τὴν καρδίαν τοῦ ἀνθρώπου ἀναβῇ, εὐθέως λαλεῖ μετ' αὐτοῦ περὶ δικαιοσύνης, περὶ ἁγνείας, περὶ σεμνότητος, περὶ αὐταρκείας, περὶ παντὸς ἔργου δικαίου, περὶ πάσης ἀρετῆς εὐδόξου (ἐνδόξου Fabricius). ὅταν οὖν ταῦτα ἐπὶ τὴν καρδίαν τοῦ ἀνθρώπου ἀναβῇ, ἀρίδηλόν ἐστιν ὅτι ὁ ἄγγελος τῆς δικαιοσύνης μετ' αὐτοῦ ἐστίν. τοῦ δὲ ἀγγέλου τῆς πονηρίας τὰ ἔργα· πρῶτον πάντων ὀξύχολός ἐστι καὶ πικρὸς καὶ ἄφρων, καὶ τὰ ἔργα αὐτοῦ πονηρά, καταστρέφοντα τοὺς δούλους τοῦ θεοῦ. ὅταν οὖν οὗτος ἐπὶ καρδίαν ἀνθρώπου ἀναβῇ, δεῖ γνῶναι αὐτὸν ἀπὸ τῶν ἔργων αὐτοῦ· ὅταν γὰρ ὀξυχολία τίς τινι προσέλθῃ ἢ πικρία, φανερῶς ὁ τοιοῦτος ἐν τῷ ἀνθρώπῳ ἐστίν. εἶτα ἐπιθυμία πράξεων πολλῶν καὶ πολυτέλεια ἐδεσμάτων πολλῶν καὶ ποικίλων τρυφῶν καὶ ἐπιθυμία γυναικῶν καὶ πλεονεξιῶν καὶ ὑπερηφανεία καὶ ἀλαζονεία καὶ ὅσα τούτοις ἐστὶ παραπλησία καὶ ὅμοια. ἀλλὰ καὶ

Mand. VI, II. 1 sq. καὶ κραιπαλῶν πολλῶν καὶ ποικίλων τρόπων οὐ δεόντων scripsi, καὶ κραιπαλῶν πολλῶν καὶ ποικ. τροφῶν οὐ δεόντων L.[2] Ti., καὶ κραιπ. πολλῶν καὶ ποικ. τροφῶν καὶ οὐ δεόντων Ps.-Ath. ed. pr., καὶ κραιπ. πολλῶν καὶ ποικ. τρυφῶν καὶ οὐ δεόντων Hg.[1] Gh. F., καὶ ποικίλων τρυφῶν Ant., et delitias multarum et variarum voluptatum p., et compotationis et insatiabilitas corporis et luxuria ae., et ebrietatis v. (om. reliquis), pro κραιπαλῶν Dindf. proposuit ἄλλων, pro οὐ δεόντων Lipsius ἡδονῶν. 2. καὶ ἐπιθυμία γυναικῶν L.[2] Ant. v. (desiderium multarum, l. mulierum) p. ae. et edd., καὶ ἐπιθυμίαι γυν. Ps.-Ath. 2. καὶ πλεονεξία L.[2] v. (rerum alienarum) p. ae. et edd., καὶ πλεονεξίαι Ps.-Ath., καὶ πλεονεξιῶν Ant. 2 sq. πολυλογία τε v. (et multiloquia) p. (et fraudem) ae. (loquacitas), πολλή τις L.[2] et edd. 6. καὶ μηδὲν Ps.-Ath. v. p. (Hb.) Gh. F., μηδὲ L.[2] ed. pr. Ti. Hg.[1] 7. ἀσύμφορα L.[2] p. et edd., non conveniunt v. ae., ἀσύμφωνα Hb. 8. σύνιε L.[2] et edd., σύνες Ps.-Ath. 11. πιστότατος L.[2] v. (felicissimus, l. fidelissimus) et edd., fidelis p. (ae.). 13. ᾖ Hg.[1] Gh. F., εἴη L.[2] ed. pr. Ti. 17. δὲ Ps.-Ath. (A.) p. ae. (et) et edd., om. L.[2] | τὰ edd., τὰς L.[2]

πιστεύσῃς, καὶ ἐργασάμενος αὐτὰ ζήσῃ τῷ θεῷ. πίστευε δὲ ὅτι τὰ ἔργα τοῦ ἀγγέλου τῆς πονηρίας χαλεπά ἐστι· μὴ ἐργαζόμενος οὖν αὐτὰ ζήσῃ τῷ θεῷ'.

Ἐντολὴ ζ'.

Eccles. XII, 13. ,Φοβήθητι', φησί, ,τὸν κύριον καὶ φύλασσε τὰς ἐντολὰς αὐτοῦ. φυλάσσων οὖν τὰς ἐντολὰς τοῦ θεοῦ ἔσῃ δυνατὸς ἐν πάσῃ πράξει, καὶ ἡ πρᾶξίς σου ἀσύγκριτος ἔσται. φοβούμενος γὰρ τὸν κύριον πάντα καλῶς ἐργάσῃ'. οὗτος δέ ἐστιν ὁ φόβος, ὃν δεῖ σε φοβηθῆναι, καὶ σωθήσῃ. 2 [2]τὸν δὲ διάβολον μὴ φοβηθῇς· φοβούμενος γὰρ τὸν κύριον κατακυριεύσεις τοῦ διαβόλου, ὅτι δύναμις ἐν αὐτῷ οὐκ ἔστιν. ἐν ᾧ δὲ δύναμις οὐκ ἔστιν, οὐδὲ φόβος· ἐν ᾧ δὲ δυναμις ἡ ἔνδοξος, καὶ φόβος ἐν αὐτῷ. πᾶς γὰρ ὁ δύναμιν ἔχων φόβον ἔχει· ὁ δὲ μὴ ἔχων δύναμιν ὑπὸ πάντων καταφρονεῖται. 3 [3]φοβήθητι δὲ τὰ ἔργα τοῦ διαβόλου, ὅτι πονηρά ἐστι. φοβούμενος

αἱ πονηραὶ ἐνθυμήσεις αὐτοῦ εἰσὶ πᾶσαι. προσσχῶμεν οὖν ἀκριβῶς ἑαυτοῖς καὶ τῷ ἀγγέλῳ τῷ πονηρῷ ἀποταξώμεθα, τῷ ἀγγέλῳ τῆς δικαιοσύνης ἀκολουθήσωμεν.

Mand. VII, p. 52, 5—p. 53, 13. Pseudo-Athanasius ad Antiochum c. 7 p. 19: Νῦν ἄκουσον (Ἄκουε καὶ A.) τῆς ἑβδόμης ἐντολῆς περὶ τοῦ φόβου (π. τ. φ. om. A.)· φοβοῦ τὸν κύριον (θεὸν A.) καὶ φύλασσε τὰς ἐντολὰς αὐτοῦ, καὶ ἔσῃ δυνατὸς ἐν (πάσῃ add. A.) πράξει, καὶ ἡ πρᾶξίς σου ἀσύγκριτος ἔσται (καὶ ἡ — ἔσται om. A.)· φοβούμενος (γὰρ add. A.) τὸν κύριον πάντα καλὰ ἐργάσῃ. οὗτός ἐστιν ὁ φόβος, ὃν δεῖ σε φοβηθῆναι (οὗτος — φοβηθῆναι om. A.). τὸν διάβολον μὴ φοβηθῇς, ὅτι δύναμις ἐν αὐτῷ οὐκ ἔστιν οὐδὲ φόβος· ἐν ᾧ δὲ ἡ δύναμις ᾖ (l. ἡ) ἔνδοξος, καὶ φόβος ἐν αὐτῷ. πᾶς γὰρ ὁ δύναμιν ἔχων καὶ φόβον ἔχει, ὁ δὲ μὴ ἔχων δύναμιν ὑπὸ πάντων καταφρονεῖται. ὁ δοῦλος (l. φόβος) οὖν τοῦ κυρίου ἰσχυρός ἐστι καὶ . . . . φοβήθητι οὖν τὸν κύριον, καὶ ζήσῃ αὐτῷ φυλάσσων τὰς ἐντολὰς αὐτοῦ εἰς τοὺς αἰῶνας (τὸν διάβολον μὴ φοβηθῇς, ὅτι δύναμις ἐν αὐτῷ οὐκ ἔστιν. μᾶλλον δὲ φοβήθητι τὰ ἔργα αὐτοῦ τὰ πονηρά, ἵνα μὴ κατακυριευθῇς ὑπ' αὐτῶν, ὅτι πονηρά εἰσιν. ἐὰν οὖν μὴ θελήσῃς τὸ πονηρὸν ἐργάσασθαι, φοβοῦ τὸν κύριον πάντοτε καὶ

Mand. VII. p. 52, 5—p. 53, 8. Clemens Alex. Strom. II, 12, 55 p. 458 e Pastore laudat: φοβητέον οὖν τὸν κύριον λέγει εἰς οἰκοδομήν, ἀλλ' οὐ τὸν διάβολον εἰς καταστροφήν· ἔμπαλιν δὲ τὰ μὲν ἔργα τοῦ κυρίου, τουτέστι τὰς ἐντολὰς ἀγαπητέον καὶ ποιητέον, τὰ δὲ ἔργα τοῦ διαβόλου φοβητέον καὶ οὐ ποιητέον· ὁ μὲν γὰρ τοῦ θεοῦ φόβος παιδεύει καὶ εἰς ἀγάπην ἀποκαθίστησιν, ὁ δὲ τῶν τοῦ διαβόλου ἔργων μῖσος ἔχει σύνοικον.

Mand. VI, II, 1. ζήσῃ L.[2] v. ae. et edd., ζήσῃς Ps.-Ath. p.
Mand. VII, I. 9. σωθήσῃ Ant. (v.) p. Gh. F., σωθῆναι L.[2] ed. pr. Ti. Hg.[1] 11. δὲ Ant. v. Gh. F., om. L.[2] ed. pr. Ti. Hg.[1] 12. ἡ L.[2] (ἣ) Ant. v. p. Hg.[1] Gh. F., ᾗ Ps.-Ath. ed. pr. Ti. 13. φόβον L.[2] ae. et edd., καὶ φόβον Ps.-Ath. Ant. v. 14. ἐστι L.[2] et edd., εἰσί Ant.

οὖν τὸν κύριον φοβηθήσῃ τὰ ἔργα τοῦ διαβόλου καὶ οὐκ ἐργάσῃ αὐτά, ἀλλ' ἀφέξῃ ἀπ' αὐτῶν. [4]δισσοὶ οὖν εἰσιν οἱ φόβοι· ἐὰν γὰρ 4
θέλῃς τὸ πονηρὸν ἐργάσασθαι, φοβοῦ τὸν κύριον καὶ οὐκ ἐργάσῃ αὐτό· ἐὰν δὲ θέλῃς πάλιν τὸ ἀγαθὸν ἐργάσασθαι, φοβοῦ τὸν κύριον
5 καὶ ἐργάσῃ αὐτό. ὥστε ὁ φόβος τοῦ κυρίου ἰσχυρός ἐστι καὶ μέγας καὶ ἔνδοξος. φοβήθητι οὖν τὸν κύριον καὶ ζήσῃ αὐτῷ· καὶ ὅσοι ἂν φοβηθῶσιν αὐτὸν τῶν φυλασσόντων τὰς ἐντολὰς αὐτοῦ, ζήσονται τῷ θεῷ'. [5],Διὰ τί', φημί, κύριε, ,εἶπας περὶ τῶν τηρούν- 5
των τὰς ἐντολὰς αὐτοῦ ζήσονται τῷ θεῷ'; ,Ὅτι', φησίν, ,πᾶσα ἡ
10 κτίσις φοβεῖται τὸν κύριον, τὰς δὲ ἐντολὰς αὐτοῦ οὐ φυλάσσει, τῶν οὖν φοβουμένων αὐτὸν καὶ φυλασσόντων τὰς ἐντολὰς αὐτοῦ, ἐκείνων ἡ ζωή ἐστι παρὰ τῷ θεῷ· τῶν δὲ μὴ φυλασσόντων τὰς ἐντολὰς αὐτοῦ, οὐδὲ ζωὴ ἐν αὐτοῖς'.

μὴ ἐπιλάθῃ τὸν φόβον αὐτοῦ· ὁ γὰρ ἔχων τὸν φόβον τοῦ θεοῦ ἐν τῇ καρδίᾳ αὐτοῦ οὐδέποτε ἐνθυμεῖται πονηρὸν ἐν τῇ διανοίᾳ αὐτοῦ, καὶ ἐργαζόμενος τὸ ἀγαθὸν ἔχει ζωὴν ἐν ἑαυτῷ εἰς τοὺς αἰῶνας A.).

Antiochus Hom. CXXVII p. 1236 sq.: φοβήθητι γάρ, φησίν, τὸν κύριον καὶ φύλασσε τὰς ἐντολὰς αὐτοῦ. φυλάσσων δὲ τὰς ἐντολὰς τοῦ θεοῦ ἔσῃ δυνατὸς ἐν πάσῃ πράξει, καὶ ἡ πρᾶξίς σου ἀσύγκριτος ἔσται. φοβούμενος γὰρ τὸν κύριον πάντα καλῶς ἐργάσῃ. οὗτός ἐστιν ὁ φόβος, ὃν δεῖ σε φοβηθῆναι, καὶ σωθήσῃ. τὸν δὲ διάβολον μὴ φοβηθῇς. φοβούμενος γὰρ τὸν κύριον κατακυριεύσεις τοῦ διαβόλου, ὅτι δύναμις οὐκ ἔστιν ἐν αὐτῷ· ἐν ᾧ δὲ δύναμις οὐκ ἔστιν, οὐδὲ φόβος, ἐν ᾧ ἡ δύναμις ἡ ἔνδοξος, καὶ ὁ φόβος ἐν αὐτῷ. πᾶς γὰρ ὁ δύναμιν ἔχων καὶ φόβον ἔχει· ὁ δὲ μὴ ἔχων δύναμιν ὑπὸ πάντων καταφρονεῖται. φοβήθητι δὲ τὰ ἔργα τοῦ διαβόλου, ὅτι πονηρά εἰσι. φοβούμενος δὲ τὸν κύριον οὐ φοβηθήσῃ τὰ ἔργα τοῦ διαβόλου καὶ οὐκ ἐργάσῃ αὐτά, ἀλλὰ φεύξῃ ἀπ' αὐτῶν. δισσοὶ οὖν εἰσὶν οἱ φόβοι. εἰ οὐ θέλῃς (l. θέλεις) τὸ πονηρὸν ἐργάζεσθαι, φοβήθητι τὸν κύριον, καὶ οὐκ ἐργάζῃ (l. ἐργάσῃ) αὐτό. ὥστε ὁ φόβος τοῦ κυρίου ἰσχυρότερός ἐστι καὶ ἔνδοξος. καὶ ὅσοι ἂν φοβηθῶσιν αὐτὸν καὶ τηρήσωσι τὰς ἐντολὰς αὐτοῦ, ζήσονται τῷ θεῷ· ἐπεὶ καὶ πᾶσα κτίσις φοβεῖται αὐτόν, τὰς δὲ ἐντολὰς αὐτοῦ οὐ φυλάσσει. τῶν οὖν φοβουμένων αὐτὸν καὶ φυλασσόντων τὰς ἐντολὰς αὐτοῦ, ἐκείνων ἡ ζωή ἐστιν παρὰ τῷ θεῷ.

Mand. VII. 1. 2. φοβηθήσῃ τὰ ἔργα τοῦ διαβόλου καὶ οὐκ ἐργάσῃ αὐτά Ant. (praem. οὐ) Gh. F., Ant., timebis et opera diaboli non facies v., οὐκ ἐργάσῃ αὐτὰς L.[2], οὐκ ἐργάσῃ αὐτά ed. pr. Ti. Hg.[1], nec opereris opera satanae ae., om. p. 3. θέλῃς L.[2] v. p. ed. pr. Ti. Hb. Gh. F., μὴ θέλῃς (cf. Ps.-Ath. Ant.) ae. Hg.[1] | φοβοῦ τὸν κύριον Ps.-Ath. A. Ant. (φοβήθητι) v. p. Hg.[1] Gh. F., τὸν θεὸν φοβοῦ L.[2] 5. ἐργάσῃ v. p. ed. pr. Hg.[1] Gh. F., ἐργάζῃ L.[2] Ant. Ti. 5. 6. ἰσχυρός ἐστι καὶ μέγας καὶ ἔνδοξος L.[2] v. p. et edd., ἰσχυρότερός ἐστι καὶ ἔνδοξος Ant. 6—10. καὶ ὅσοι ἂν — φυλάσσει L.[2] Ant. p. ae. et edd., om. v. 10. κτίσις φοβεῖται v. p. ae. Ant. et edd., κτῆσις φοβῆται L.[2] 11. αὐτὸν Ant. v. p. ae. Gh. F., om. L.[2] ed. pr. Ti. Hg.[1] 12. ἐκείνων Ant. v. p. ae. Hg.[1] Gh. F., ἑκόντων L.[2], ἑκόντων ed. pr. Ti. 13. αὐτοῦ v. p. ae. et edd., αὐτῶν L.[2] | αὐτοῖς v. et edd., αὐτῷ (super ῷ notato οῖς) L.[2]

Ἐντολὴ η΄.

1 ‚Εἶπόν σοι', φησίν, ‚ὅτι τὰ κτίσματα τοῦ θεοῦ διπλᾶ ἐστί· καὶ γὰρ ἡ ἐγκράτεια διπλῆ ἐστίν. ἐπί τινων γὰρ δεῖ ἐγκρατεύεσθαι, 2 ἐπί τινων δὲ οὐ δεῖ'. [2]‚Γνώρισόν μοι', φημί, ‚κύριε, ἐπὶ τίνων δεῖ ἐγκρατεύεσθαι, ἐπὶ τίνων δὲ οὐ δεῖ.' ‚Ἄκουε', φησί, ‚τὸ πονηρὸν ἐγκρατεύου καὶ μὴ ποίει αὐτό· τὸ δὲ ἀγαθὸν μὴ ἐγκρατεύου, ἀλλὰ ποίει αὐτό. [ἐὰν γὰρ ἐγκρατεύσῃ τὸ ἀγαθὸν μὴ ποιεῖν, ἁμαρτίαν μεγάλην ἐργάζῃ]· ἐὰν δὲ ἐγκρατεύσῃ τὸ πονηρὸν μὴ ποιεῖν, δικαιοσύνην μεγάλην ἐργάζῃ. ἐγκράτευσαι οὖν ἀπὸ πονηρίας πάσης 3 ἐργαζόμενος τὸ ἀγαθόν'. [3]‚Ποταπαί', φημί, ‚κύριε, εἰσὶν αἱ πονηρίαι, ἀφ' ὧν δεῖ με ἐγκρατεύεσθαι'; ‚Ἄκουε', φησίν, ‚ἀπὸ μοιχείας καὶ πορνείας, ἀπὸ μεθύσματος ἀνομίας, ἀπὸ τρυφῆς πονηρᾶς, ἀπὸ ἐδεσμάτων πολλῶν καὶ πολυτελείας πλούτου καὶ καυχήσεως καὶ ὑψηλοφροσύνης καὶ ὑπερηφανίας καὶ ἀπὸ ψεύσματος καὶ καταλα- 4 λίας καὶ ὑποκρίσεως, μνησικακίας καὶ πάσης βλασφημίας. [4]ταῦτα τὰ ἔργα πάντων πονηρότατά εἰσιν ἐν τῇ ζωῇ τῶν ἀνθρώπων. ἀπὸ

Mand. VIII, p. 54, 2—p. 57, 6. Pseudo-Athanasius ad Antiochum c. 8 p. 19 sq.: Ἄκουε καὶ τῆς ὀγδόης ἐντολῆς περὶ ἐγκρατείας· νοήσον ὅτι ἡ ἐγκράτεια διπλῆ (περὶ ἐγκρατείας νόησον ὅτι διπλῆ A.) ἐστίν. ἐπί τινων γὰρ δεῖ σε ἐγκρατεύεσθαι, ἐπί τινων δὲ οὐ δεῖ· τὸ πονηρὸν ἐγκρατεύεσθαι καὶ μὴ ποιεῖν αὐτό, τὸ δὲ ἀγαθὸν μὴ ἐγκρατεύου, ἀλλὰ ποίει αὐτό. ἄκουε δὲ λεπτομερῶς. — — Ἐγκρατεύου ἀπὸ πάσης πονηρίας (ἐπί τινων δεῖ ἐγκρατεύεσθαι καὶ μὴ ποιεῖν αὐτά. ἐγκρατεύου ἀπὸ πάσης πονηρίας, ἐργαζόμενος τὸ ἀγαθόν. ἄκουε λεπτομερῶς A.), ἀπὸ μεθύσματος ἀνομίας, ἀπὸ τρυφῆς πονηρᾶς, ἀπὸ ἐδέσματων πολλῶν καὶ πολυτελῶν, πλούτου, καυχήσεως, ὑψηλοφροσύνης καὶ ὑπερηφανίας καὶ ψεύδους καὶ καταλαλίας καὶ ὑποκρίσεως καὶ μνησικακίας καὶ πάσης βλασφημίας (καὶ πολυτελείας πλούτου καὶ μνησικακίας καὶ βλασφημίας A.). ταῦτα τὰ ἔργα πονηρά ἐστι (εἰσὶν A.) τῇ ζωῇ τῶν ἀνθρώπων. τούτων οὖν τῶν ἔργων (οὖν τ. ἔ. om. A.) δεῖ ἐγκρατεύεσθαι τὸν δοῦλον τοῦ θεοῦ· ὁ γὰρ μὴ ἐγκρατευόμενος τούτων οὐ δύναται ζῆσαι τῷ θεῷ (τῷ θ. om. A.). ἄκουε δὲ καὶ τὰ ἀκόλουθα τούτων (ἄκουε καὶ τὰ ὀνόματα τούτων ἤτοι ἀκόλουθα A.). λέγει ὁ δοῦξ (ὁ δ. om. A.) Ἀντίοχος Ἔτι (ποῖα A.) γάρ, κύριε,

Mand. VIII. 7. 8. uncinis inclusa v. (si enim abstinueris a bono et non id feceris, peccabis) p. (nam quomodo si a bono actu te abstinueris, delictum admittis) ae. (si enim abstineas, ne agas bonum, magnum peccatum erit tibi) Hg.[1] Gh. F., om. L.[2] propter homoeoteleuton. 11. με p. ae. Gh. F., ἡμῶν L.[2], ἡμᾶς ed. pr. Ti. Hg.[1] 12. ἀπὸ μεθύσματος ἀνομίας, ἀπὸ τρυφῆς πονηρᾶς Ps.-Ath. (cf. Ant.) v. (ab ebrietatibus — a conviviis malignis) p. (ab ebrietate, ab iniustitia, a delitiis plurimis et luxuriosis) ae. (et ab ebrietate iniusta, luxuria prava) ed. pr. (ἀπὸ etiam ante ἀνομίας) Hg.[1] Gh. F., ἀπὸ μεθ. ἀνομ., ἀπὸ τρυφῆς πολλῆς καὶ πονηρᾶς Hb., om. L.[2] Ti. 13. καὶ πολυτελείας πλούτου L.[2] Ps.-Ath. (A.) Ant. v. p. et edd., καὶ πολυτελῶν, πλούτου Ps.-Ath. (B.), divitiarum cupiditate ae. 14. ψεύσματος Ant. v. p. ae., στευσμάτων L.[2], ψευσμάτων Ti. Hg.[1], ψεύδους ed. pr. 15. πάσης Ps.-Ath. p. ed. pr. Hg.[1] (p. 176) Gh. F., πάσης ἄλλης L.[2] Ti. Hg.[1] (in textu).

τούτων οὖν τῶν ἔργων δεῖ ἐγκρατεύεσθαι τὸν δοῦλον τοῦ θεοῦ.
ὁ γὰρ μὴ ἐγκρατευόμενος ἀπὸ τούτων οὐ δύναται ζῆσαι τῷ θεῷ.
ἄκουε οὖν καὶ τὰ ἀκόλουθα τούτων. [5] ,Ἔτι γάρ', φημί, ,κύριε, πονηρὰ ἔργα ἐστί'; ,Καί γε πολλά', φησίν, ,ἔστιν, ἀφ' ὧν δεῖ τὸν
δοῦλον τοῦ θεοῦ ἐγκρατεύεσθαι· κλέμμα, ψεῦσμα, ἀποστέρησις,
ψευδομαρτυρία, πλεονεξία, ἐπιθυμία πονηρά, ἀπάτη, κενοδοξία, ἀλαζονεία καὶ ὅσα τούτοις ὅμοιά εἰσιν. [6] οὐ δοκεῖ σοι ταῦτα πονηρὰ
εἶναι'; ,Καὶ λίαν πονηρὰ τοῖς δούλοις τοῦ θεοῦ'. ,Τούτων πάντων
δεῖ ἐγκρατεύεσθαι τὸν δουλεύοντα τῷ θεῷ. ἐγκράτευσαι οὖν ἀπὸ
πάντων τούτων, ἵνα ζήσῃ τῷ θεῷ, καὶ ἐγγραφήσῃ μετὰ τῶν ἐγκρατευομένων αὐτά. ὧν μὲν οὖν δεῖ σε ἐγκρατεύεσθαι, ταῦτά
ἐστιν. [7] ἃ δὲ δεῖ σε μὴ ἐγκρατεύεσθαι, φησίν, ἀλλὰ ποιεῖν, ἄκουε·
τὸ ἀγαθὸν μὴ ἐγκρατεύου, ἀλλὰ ποίει αὐτό'. [8] ,Καὶ τῶν ἀγαθῶν
μοι', φημί, ,κύριε, δήλωσον τὴν δύναμιν, ἵνα πορευθῶ ἐν αὐτοῖς
καὶ δουλεύσω αὐτοῖς, ἵνα ἐργασάμενος αὐτὰ δυνηθῶ σωθῆναι'.
,Ἄκουε', φησί, ,καὶ τῶν ἀγαθῶν τὰ ἔργα, ἅ σε δεῖ ἐργάζεσθαι καὶ
μὴ ἐγκρατεύεσθαι. [9] πρῶτον πάντων πίστις, φόβος κυρίου, ἀγάπη

πονηρά εἰσιν ἔργα; λέγει αὐτῷ ὁ ἐπίσκοπος Καὶ πολλά εἰσιν (πονηρά add. A.) ἀφ' ὧν δεῖ τὸν δοῦλον τοῦ θεοῦ ἐγκρατεύεσθαι· κλοπή (κλ. om. A.), ψεῦδος, ἀποστέρησις, ψευδομαρτυρία, πλεονεξία, ἀλαζονεία, καὶ ὅσα τούτοις ὅμοια. ἢ οὐ δοκεῖ σοι πονηρὰ εἶναι ταῦτα; ἀπεκρίθη Καὶ λίαν πονηρὰ τοῖς δούλοις τοῦ θεοῦ (καὶ ἀπεκρίθη Ναί, δοῦλε τοῦ θεοῦ A.). λέγει αὐτῷ ὁ ἐπίσκοπος Ἐγκράτευσαι οὖν ἀπὸ πάντων τούτων (τούτων πάντων δεῖ ἐγκρατεύεσθαι τὸν δοῦλον τοῦ θεοῦ A.), ἵνα ζήσῃ τῷ θεῷ καὶ ἐγγραφήσῃ (ἐγγραφῇ A.) μετὰ τῶν ἐγκρατευομένων. ἃ μὲν οὖν δεῖ ἐγκρατεύεσθαι ταῦτά ἐστιν. ἃ δὲ δεῖ σε μὴ ἐγκρατεύεσθαι, ἀλλὰ ποιεῖν, ἄκουε (ἃ μὲν οὖν — ἄκουε om. A.). πάντων πρῶτον (πρὸ πάντων A.) πίστις, φόβος κυρίου, ὁμόνοια, ἀγάπη, ῥήματα δικαιοσύνης, ἀλήθεια, ὑπομονή. τούτων ἀγαθώτερον οὐδέν ἐστιν ἐν τῇ ζωῇ τῶν ἀνθρώπων· ταῦτα ἐάν τις φυλάσσῃ καὶ μὴ ἐγκρατεύηται ἀπ' αὐτῶν (καὶ μὴ — αὐτῶν om. A.), μακάριός ἐστιν ἐν τῇ ζωῇ αὐτοῦ. εἶτα τούτων τὰ (τὰ τούτων A.) ἀκόλουθα ἄκουε· χήραις ὑπηρετεῖν καὶ ὀρφανοὺς ὑστερουμένους ἐπισκέπτεσθαι, ἐξ ἀνάγκης λυτρώσασθαι τοὺς δούλους τοῦ θεοῦ (καὶ ὀρφανοῖς, ὑστερουμένοις τοῖς δούλοις τοῦ θεοῦ A.), φιλόξενον εἶναι — ἐν γὰρ τῇ φιλοξενίᾳ εὑρίσκεται ἀγαθοποίησις —, ἡσύχιον εἶναι (φιλόξενον εἶναι, ἥσυχον A.), ἐνδεέστερον γενέσθαι (ἐνδεεστέρῳ παρέχειν A.), πάντα ἄνθρωπον πρεσβύτην (πρεσβύτην om. A.) σέβεσθαι, ἀσκεῖν δικαιοσύνην, ἀδελφότητα συντηρεῖν (ἀσκεῖν — συντηρεῖν om. A.), ὕβριν ὑποφέρειν, μακρόθυμον εἶναι, ἀμνησίκακον, κάμνοντας τῇ ψυχῇ παρακαλεῖν, ἐσκανδαλισμένους ἀπὸ τῆς πίστεως μὴ ἀποβαλέσθαι, ἀλλ' ἐπιστρέ-

Mand. VIII. 4. πολλά edd., πολλαί L.[2] | ἀφ' ὧν Ps.-Ath. v. p. ae. et edd., ἀφρόνων (in margine: ἀφώνως) L.[2] 5. ψεῦσμα L.[2] ed. pr. Ti. Hg.[1], ψεῦδος Ps.-Ath. Gh. F. 6. πονηρά Ant. ae. (emend.) et edd., πονηρία L.[2] 8. καί. in L.[2] superscr. ἤ. 9. δεῖ Ant. v. p. et edd., δὲ L.[2] 10. ζήσῃ Ps.-Ath. Gh. F., ζήσῃς ed. pr. Ti. Hg.[1], ζήσας L.[2] 11. αὐτά p. Ti. Hg.[1] Gh. F., αὐτά correctum ex αὐτάς, superscripto αὐτάς L.[2] 16. ἅ σε v. p. ae. Ps.-Ath. Hg.[1] (p. 176) Gh. F., ἅ γε L.[2] Ti. 17. κυρίου Ps.-Ath. Ant. v. ae. Hg.[1] Gh. F., θεοῦ L.[2] p. Ti.

ὁμόνοια, ῥήματα δικαιοσύνης, ἀλήθεια, ὑπομονή· τούτων ἀγαθώτερον οὐδέν ἐστιν ἐν τῇ ζωῇ τῶν ἀνθρώπων· ταῦτα ἐάν τις φυλάσσῃ καὶ μὴ ἐγκρατεύηται ἀπ' αὐτῶν, μακάριος γίνεται ἐν τῇ ζωῇ
10 αὐτοῦ. [10]εἶτα τούτων τὰ ἀκόλουθα ἄκουσον· χήραις ὑπηρετεῖν, ὀρφανοὺς καὶ ὑστερουμένους ἐπισκέπτεσθαι, ἐξ ἀναγκῶν λυτροῦσθαι τοὺς δούλους τοῦ θεοῦ, φιλόξενον εἶναι — ἐν γὰρ τῇ φιλοξενίᾳ εὑρίσκεται ἀγαθοποίησίς ποτε —, μηδενὶ ἀντιτάσσεσθαι, ἡσύχιον εἶναι, ἐνδεέστερον γίνεσθαι πάντων ἀνθρώπων, πρεσβύτας σέβεσθαι, δικαιοσύνην ἀσκεῖν, [ἀδελφότητα συντηρεῖν, ὕβριν ὑποφέρειν, μακρόθυμον εἶναι, κάμνοντας τῇ ψυχῇ παρακαλεῖν], ἐσκανδαλισμένους ἀπὸ τῆς πίστεως μὴ ἀποβάλλεσθαι, ἀλλ' ἐπιστρέφειν καὶ εὐθύμους ποιεῖν, ἁμαρτάνοντας νουθετεῖν, χρεώστας μὴ θλίβειν
11 καὶ ἐνδεεῖς, καὶ εἴ τινα τούτοις ὅμοιά ἐστι. [11]‚δοκεῖ σοι', φησί, ‚ταῦτα ἀγαθὰ εἶναι'; ‚Τί γάρ', φημί, ‚κύριε, τούτων ἀγαθώτερον'; ‚Πορεύου οὖν', φησίν, ‚ἐν αὐτοῖς καὶ μὴ ἐγκρατεύου ἀπ' αὐτῶν,

φειν καὶ εὐθύμους ποιεῖν (κάμνοντας — ποιεῖν om. A.), ἁμαρτάνοντας νουθετεῖν, χρεώστας μὴ θλίβειν, ἐνδεεῖς μὴ λυπεῖν καὶ ὅσα τούτοις ὅμοιά ἐστιν. δοκεῖ (οὐ δοκεῖ A.) σοι ταῦτα ἀγαθὰ εἶναι; ἀπεκρίθη ὁ Ἀντίοχος Τί γάρ, κύριε (κύριε om A.), δύναται τούτων ἀγαθώτερον εἶναι; λέγει αὐτῷ ὁ ἐπίσκοπος Γύμναζε σεαυτὸν (Ἐπιγύμναζε οὖν ἑαυτὸν A.) ἐν τούτοις καὶ μὴ ἐγκρατεύου πάντων, καὶ ζήσῃ τῷ θεῷ εἰς τοὺς αἰῶνας. ἀμήν. (καὶ μὴ ἀποστῇς ἀπ' αὐτῶν, καὶ ζήσῃ εἰς τοὺς αἰῶνας, καὶ πάντες ὅσοι τὰς ἐντολὰς αὐτοῦ φυλάξωσιν, ζήσονται εἰς τοὺς αἰῶνας A.).

Antiochus Hom. LXXIX p. 1149 sq.: Ἡ οὖν ἐγκράτεια διπλῆ ἐστίν· ἐπί τινων γὰρ δεῖ ἐγκρατεύεσθαι, ἐπί τινων δὲ οὐ δεῖ. τὸ πονηρὸν γὰρ δεῖ ἐγκρατεύεσθαι καὶ μὴ ποιεῖν αὐτό, τὸ δὲ ἀγαθὸν μὴ ἐγκρατεύεσθαι, ἀλλὰ ποιεῖν. ἐγκράτευσαι οὖν ἀπὸ πάσης πονηρίας ἐργαζόμενος τὸ ἀγαθόν. ἐγκράτευσαι ἀπὸ μοιχείας, πορνείας, μεθύσματος ἀνομίας, ἀπὸ τρυφῆς, ἀπὸ πονηρίας, ἀπό τε ἐδεσμάτων πολλῶν καὶ πολυτελείας πλούτου καὶ καυχήσεως, ὑψηλοφροσύνης καὶ ὑπερηφανίας καὶ ἀπὸ ψεύσματος καὶ καταλαλίας καὶ ὑποκρίσεως καὶ μνησικακίας καὶ πάσης βλασφημίας, κλέμματος, ἀποστερήσεως, ψευδομαρτυρίας, πλεονεξίας, ἐπιθυμίας πονηρᾶς, ἀπάτης, κενοδοξίας, ἀλαζονείας καὶ ὅσα τούτοις ὅμοιά ἐστιν. τούτων δὴ τῶν ἔργων δεῖ ἐγκρατεύεσθαι τὸν ἀγωνιστὴν καὶ δοῦλον τοῦ θεοῦ. εἰσὶν δὲ καὶ ἔργα ἀγαθά, ἃ δεῖ ἐργάζεσθαι καὶ μὴ ἐγκρα-

Mand. VIII. 1 sq. ἀγαθώτερον Ps.-Ath. v. p. ae. et edd., ἀγαθότης (o ex ω facto, ut videtur) L.² 3. μὴ Ps.-Ath. p. et edd., om. L.² 7. ποτὲ — μηδενὶ Gh. F., ποτὲ μηδενὶ L.² v. ae. Ti., — μηδενί ποτε Hg.¹ 9. 10. ἀδελφότητα — παρακαλεῖν Ps.-Ath. Ant. v. (fraternitatem conservare, contumelias sufferre, animaequum esse) p. (fraternitatem custodire, iniuriam ferre, aequanimum esse, animo laborantes precibus erigere) ae. (saluta omnes, patiens esto et missam fac iram nec ultioni indulgeas in corde tuo et hilares redde moestos, libera afflictione vexatos) Hg.¹, ἀδελφ. συντηρ., ὕβριν ὑποφ., μακροθ. εἶναι, ἀμνησίκακον, κάμν. τ. ψ. παρακαλεῖν praeeunte ed. pr. Gh. F., om. L.² 10 sq. ἐσκανδαλισμένους Ps.-Ath. Ant. et edd., ἐνσκανδαλισμένους L.² 13. καὶ ἐνδεεῖς L.² et edd., ἐνδεεῖς Ant. (fere probante Hb.), ἐνδεεῖς μὴ λυπεῖν Ps.-Ath., parce animae, miserere pauperis ae., om. v. p. 14. ἀγαθώτερον Ps.-Ath. et edd., ἀγαθώτερα L.² Angero et Ti., non Gh. praebere visus est.

καὶ ζήσῃ τῷ θεῷ. [12]φύλασσε οὖν τὴν ἐντολὴν ταύτην· ἐὰν τὸ ἀγαθὸν ποιῇς καὶ μὴ ἐγκρατεύσῃ ἀπ' αὐτοῦ, ζήσῃ τῷ θεῷ. πάντες ζήσονται τῷ θεῷ οἱ οὕτω ποιοῦντες. καὶ πάλιν ἐὰν τὸ πονηρὸν μὴ ποιῇς καὶ ἐγκρατεύσῃ αὐτό, ζήσῃ τῷ θεῷ. καὶ πάντες ζήσονται τῷ θεῷ, ὅσοι ἐὰν ταύτας τὰς ἐντολὰς φυλάξωσι καὶ πορευθῶσιν ἐν αὐταῖς.

Ἐντολὴ θ'.

Λέγει μοι, Ἆρον ἀπὸ σεαυτοῦ τὴν διψυχίαν καὶ μηδὲν ὅλως διψυχήσῃς αἰτήσασθαί παρὰ τοῦ θεοῦ, λέγων ἐν σεαυτῷ ὅτι πῶς δύναμαι αἰτήσασθαι τι παρὰ τοῦ κυρίου καὶ λαβεῖν, ἡμαρτηκὼς τοσαῦτα εἰς αὐτόν; [2]μὴ διαλογίζου ταῦτα, ἀλλ' ἐξ ὅλης τῆς καρ-

τεύεσθαι· πρὸ δὲ πάντων πίστις, φόβος κυρίου, ἀγάπη, ὁμόνοια, ῥήματα δικαιοσύνης, ἀλήθεια, ὑπομονή, χήραις ὑπηρετεῖν, ὀρφανοὺς ὑστερουμένους ἐπισκέπτεσθαι, ἐξ ἀναγκῶν λυτροῦσθαι τοὺς δούλους τοῦ θεοῦ, φιλόξενον εἶναι, ἥσυχον, ἐνδεέστερον γενέσθαι πάντων ἀνθρώπων, πρεσβύτας σέβεσθαι, ἀσκεῖν δικαιοσύνην, ἀδελφότητα συντηρεῖν, μακρόθυμον εἶναι, μνησικακίαν μὴ ἔχειν, κάμνοντας τῇ ψυχῇ παρακαλεῖν, ἐσκανδαλισμένους ἀπὸ πίστεως μὴ ἀποβάλλεσθαι, ἀλλ' ἐπιστρέφειν καὶ εὐθύμους ποιεῖν, ἁμαρτάνοντας νουθετεῖν, χρεώστας μὴ θλίβειν ἐνδεεῖς, καὶ εἴ τινα τούτοις ὅμοιά ἐστιν. ταῦτα γὰρ ἐάν τις φυλάξῃ καὶ μὴ ἐγκρατεύσηται ἀπ' αὐτῶν, ζήσεται τῷ θεῷ.

Mand. IX, p. 57, 8—58, 5. I. E. Grabe in spicilegio SS. Patrum etc. Tom. I. p. 303 sq. ed. II. ex antiqua ms. catena graecorum Patrum in Acta Apostolorum et epistolas catholicas Oxoniensi ad Iacobi epi. I, 6 fragmentum edidit:

Ἐκ τοῦ Ποιμένος ἐντολ.

Ἆρον σεαυτοῦ τὴν διψυχίαν καὶ μηδὲν ὅλως διψυχήσῃς αἰτήσασθαι παρὰ τοῦ θεοῦ λέγων ἐν σεαυτῷ ὅτι πῶς δύναμαι αἰτήσασθαί τι παρὰ τοῦ κυρίου καὶ λαβεῖν ἡμαρτηκὼς τοσαῦτα εἰς αὐτόν; μὴ διαλογίζου ταῦτα, ἀλλ' ἐξ ὅλης καρδίας σου ἐπίστρεψον ἐπὶ τὸν κύριον καὶ αἰτοῦ παρ' αὐτοῦ ἀδιστάκτως καὶ γνώσῃ τὴν πολυσπλαγχνίαν αὐτοῦ, ὅτι οὐ μή σε ἐγκαταλείπῃ, ἀλλὰ τὸ αἴτημα τῆς ψυχῆς σου πληροφορήσει. οὐκ ἔστι γὰρ ὁ θεὸς ὡς οἱ ἄνθρωποι οἱ μνησικακοῦντες (add. εἰς) ἀλλήλους, ἀλλ' αὐτὸς ἀμνησίκακος ἐστι καὶ σπαγχνίζεται (sic) ἐπὶ τὴν ποίησιν αὐτοῦ.

Mand. IX, p. 57, 8—p. 58, 5. Pseudo-Athanasius ad Antiochum c. 9 p. 21 sq.: Ἄκουε καὶ τῆς ἐνάτης ἐντολῆς τὴν διδασκαλίαν· πάνυ γὰρ ὠφέλιμός ἐστιν· ἆρον ἀπὸ σοῦ τὴν διψυχίαν καὶ μηδὲν ὅλως διψυχήσῃς αἰτήσασθαι παρὰ τοῦ θεοῦ (αἰτ. τῷ θεῷ A.), λέγων ἐν ἑαυτῷ ὅτι πῶς δυνήσομαι αἰτήσασθαι παρὰ τοῦ κυρίου λαβεῖν ἡμαρτηκὼς τοσαῦτα εἰς αὐτόν; μὴ διαλογίζου ταῦτα (μηδὲν τοιοῦτον διαλογίζου A.), ἀλλ' ἐξ ὅλης καρδίας σου ἐπίστρεψον πρὸς

Mand. VIII. 2. ζήσῃ Ps.-Ath. (Ant.) et edd., οὐ ζήσῃ L.[2] | πάντες L.[2] ed. pr. Ti., καὶ πάντες Gh. F. 4. αὐτό (cf. p. 54, 5. 6. 55, 12. 13) L.[2] Ti. Hg.[1], τούτου ed. pr., ἀπ' αὐτοῦ Gh. F. Mand. IX. 8. σεαυτοῦ L.[2] super σου deleto. 10. τι frgm. Grab. v. p. Gh. F., om. L.[2] Ps.-Ath. Ant. ed. pr. Ti. Hg.[1] κυρίου L.[2] frgm. Gr. Ps.-Ath. v. et edd., θεοῦ Ant. 11. τῆς L.[2] Ant. et edd., om. frgm. Gr. Ps.-Ath.

δίας σου ἐπίστρεψον ἐπὶ τὸν κύριον, καὶ αἰτοῦ παρ' αὐτοῦ ἀδιστάκτως, καὶ γνώσῃ τὴν πολυσπλαγχνίαν αὐτοῦ, ὅτι οὐ μή σε ἐγκαταλίπῃ, ἀλλὰ τὸ αἴτημα τῆς ψυχῆς σου πληροφορήσει. [3]οὐκ ἔστι γὰρ ὁ θεός ὡς οἱ ἄνθρωποι οἱ μνησικακοῦντες, ἀλλ' αὐτὸς ἀμνησίκακός ἐστι καὶ σπλαγχνίζεται ἐπὶ τὴν ποίησιν αὐτοῦ. [4]σὺ οὖν καθάρισόν σου τὴν καρδίαν ἀπὸ πάντων τῶν ματαιωμάτων τοῦ αἰῶνος τούτου καὶ τῶν προειρημένων σοι ῥημάτων καὶ αἰτοῦ παρὰ τοῦ κυρίου καὶ ἀπολήψῃ πάντα, καὶ ἀπὸ πάντων τῶν αἰτημάτων σου ἀνυστέρητος ἔσῃ, ὅσα ἂν ἀδιστάκτως αἰτήσῃς παρὰ τοῦ κυρίου. [5]ἐὰν δὲ διστάσῃς ἐν τῇ καρδίᾳ σου, οὐδὲν οὐ μὴ λήψῃ τῶν αἰτημάτων σου. οἱ γὰρ διστάζοντες εἰς τὸν θεόν, οὗτοί εἰσιν οἱ δίψυχοι, καὶ οὐδὲν ὅλως ἐπιτυγχάνουσι τῶν αἰτημάτων αὐτῶν. [6]οἱ δὲ ὁλοτελεῖς ὄντες ἐν τῇ πίστει πάντα αἰτοῦνται πεποιθότες ἐπὶ τὸν κύριον καὶ λαμβάνουσιν, ὅτι ἀδιστάκτως αἰτοῦνται, μηδὲν διψυχοῦντες. πᾶς γὰρ δίψυχος ἀνήρ, ἐὰν μὴ μετανοήσῃ, δυσκόλως σωθήσεται. [7]καθάρισον οὖν τὴν καρδίαν σου ἀπὸ τῆς διψυχίας, ἔνδυσαι δὲ τὴν πίστιν, ὅτι ἰσχυρά ἐστι, καὶ πίστευε τῷ θεῷ, ὅτι

(τὸν add. A.) κύριον καὶ αἰτοῦ παρ' αὐτοῦ (π. α. om. A.) ἀδιστάκτως, καὶ γνώσῃ τὴν πολυευσπλαγχνίαν αὐτοῦ (τὴν πολλὴν αὐτοῦ εὐσπλαγχνίαν A.), ὅτι οὐ μή σε ἐγκαταλίπῃ (ἐγκαταλείψει A.), ἀλλὰ τὸ αἴτημα τῆς ψυχῆς σου πληροφορήσει (ταχέως πληρώσει A.). οὐκ ἔστιν γὰρ ὁ θεὸς ὡς οἱ ἄνθρωποι μνησικακοῦντες, ἀλλ' αὐτὸς ἀμνησίκακός ἐστιν καὶ σπλαγχνίζεται ἐπὶ τὴν ποίησιν (τῷ πλάσματι A.) αὐτοῦ. σὺ οὖν καθάρισον τὴν καρδίαν σου ἀπὸ πάντων τῶν ματαίων τούτων καὶ τῶν προειρημένων σοι ῥημάτων καὶ αἰτοῦ (καθάρισόν σου τὸν λογισμὸν καὶ τὴν ψυχὴν ἀπὸ παντὸς ῥύπου ἐχθροῦ καὶ αἴτησαι A.) παρὰ τοῦ κυρίου καὶ λήψῃ καὶ πάντων τῶν αἰτημάτων σου ἀστέρητος ἔσῃ, ἐὰν ἀδιστάκτως αἰτήσῃς· ἐὰν δὲ διστάσῃς ἐν τῇ καρδίᾳ σου, οὐδὲν οὐ μὴ λήψῃ τῶν αἰτημάτων σου (καὶ λήψῃ εἴ τι αἰτήσῃ, ὅτι οὐκ ἐγκαταλείπει τοὺς εἰς αὐτὸν ἐλπίζοντας A.). οἱ γὰρ διστάζοντες εἰς τὸν θεόν, οὗτοί εἰσιν ὡς (ὡς om. A.) δίψυχοι καὶ οὐδὲν ὅλως λαμβάνουσι τῶν αἰτημάτων αὐτῶν. οἱ δὲ ὁλοτελεῖς ὄντες ἐν τῇ (τῇ om. A.) πίστει πάντα αἰτοῦνται πεποιθότες ἐπὶ τὸν θεὸν καὶ λαμβάνουσιν, ὅτι ἀδιστάκτως αἰτοῦνται μηδὲν διψυχοῦντες (πάντα ἃ αἰτοῦνται ὁλοψύχως λαμβάνουσιν A.). πᾶς γὰρ δίψυχος ἀνὴρ ἐὰν μὴ μετανοήσῃ (ἐὰν μὴ καθαρίσῃ τὸν νοῦν τῆς ψυχῆς αὐτοῦ A.), δυσκόλως σωθήσεται (σώζεται A.). καθάρισον οὖν τὴν καρδίαν σου ἀπὸ τῆς διψυχίας (καθάρισον — διψυχίας om. A.), ἔνδυσαι δὲ τὴν πίστιν, ὅτι ἰσχυρά ἐστιν, καὶ πίστευε τῷ θεῷ, ὅτι πάντα τὰ αἰτήματά σου ἃ αἰτῇ (αἰτεῖς A.) λήψῃ, καὶ (καὶ om. A.) ἐὰν αἰτησάμενός

IX. 2. πολυσπλαγχνίαν (cf. p. 7, l. 10, 22 sq.) frgm. Gr. Gh. F., πολυευσπλαγχνίαν Ps.-Ath. (B.), πολλὴν εὐσπλαγχνίαν L.[2] Ps.-Ath. (A.) Ant. ed. pr. Ti. Hg.[1] 4. ὁ θεός frgm. Gr. Ps.-Ath. Ant. v. p. ae. Gh. F., om. L.[2] ed. pr. Ti. Hg.[1] 6. ματαιωμάτων ed. pr. Hg.[1] Gh. F. edd., ματαιομάτων L.[2] Ti. 7. σοι Ps.-Ath. v. p. ae. Hg.[1] Gh. F., σου L.[2] ed. pr. Ti. 9. ἀνυστέρητος L.[2] v. ae. Ti. Gh. F., ἀστέρητος Ps.-Ath. ed. pr. Hg.[1] | ὅσα ἂν L.[2] ed. p. Ti. Hg.[1], ἐὰν Ps.-Ath. v. (si) ae. (si modo) Gh. F. 10. δὲ Ps.-Ath. p. ae. ed. pr. Hg.[1] Gh. F., om. L.[2] Ti. 13. πάντα v. p. Ps.-Ath. Ant. et edd., πάντας (notato ε super altero α) L.[2] 14. κύριον L.[2] Ant. v. et edd., θεὸν Ps.-Ath. p.

πάντα τὰ αἰτήματά σου ἃ αἰτεῖς λήψῃ. καὶ ἐὰν αἰτησάμενός ποτε παρὰ τοῦ κυρίου αἴτημά τι βραδύτερον λαμβάνῃς, μὴ διψυχήσῃς, ὅτι ταχὺ οὐκ ἔλαβες τὸ αἴτημα τῆς ψυχῆς σου· πάντως γὰρ διὰ πειρασμόν τινα ἢ παράπτωμά τι, ὃ σὺ ἀγνοεῖς, βραδύτερον λαμ-
5 βάνεις τὸ αἴτημά σου. [8]σὺ οὖν μὴ διαλίπῃς αἰτούμενος τὸ αἴτημα 8 τῆς ψυχῆς σου καὶ λήψῃ αὐτό. ἐὰν δὲ ἐκκακήσῃς καὶ διψυχήσῃς αἰτούμενος, σεαυτὸν αἰτιῶ καὶ μὴ τὸν μὴ διδόντα σοι. [9]βλέπε τὴν 9 διψυχίαν ταύτην· πονηρὰ γάρ ἐστι καὶ ἀσύνετος καὶ πολλοὺς ἐκριζοῖ ἀπὸ τῆς πίστεως, καὶ λίαν πιστοὺς καὶ ἰσχυρούς. καὶ γὰρ αὐτὴ ἡ
10 διψυχία θυγάτηρ ἐστὶ τοῦ διαβόλου καὶ λίαν πονηρεύεται εἰς τοὺς δούλους τοῦ θεοῦ. [10]καταφρόνησον οὖν τῆς διψυχίας καὶ κατα- 10 κυρίευσον αὐτῆς ἐν παντὶ πράγματι, ἐνδυσάμενος τὴν πίστιν τὴν

ποτε παρὰ τοῦ κυρίου αἴτημά τι (τι om. A.) καὶ βραδύτερον λάβῃς, μὴ διψυχήσῃς, ὅτι τάχιον οὐκ ἔλαβες τὸ αἴτημα τῆς ψυχῆς (καρδίας A.) σου· πάντως γὰρ διὰ πειρασμόν τινα ἢ παράπτωμά τι (τι om. A.) ὃ σὺ ἀγνοεῖς οὐκ ἔλαβες (τὸ αἴτημα τῆς ψυχῆς σου add. A.). σὺ οὖν μὴ διαλίπῃς εὐχόμενος τὸ αἴτημα τῆς ψυχῆς σου (τὸ αἰτ. τ. ψ. σ. om. A.), ἕως οὗ ἀπολήψῃ αὐτό. ἐὰν δὲ ἐκκακήσῃς καὶ διψυχήσῃς (εὐχόμενος καὶ add. A.) αἰτούμενος, ἑαυτὸν αἰτιῶ καὶ μὴ τὸν μὴ (μὴ om. A.) διδοῦντά (l. διδόντα) σοι. βλέπε οὖν τὴν διψυχίαν ταύτην. πονηρὰ γάρ ἐστι καὶ ἀσύνετος καὶ πολλοὺς ἐκριζοῖ ἀπὸ τῆς πίστεως, καί γε λίαν πιστοὺς καὶ ἰσχυρούς. καταφρόνησον οὖν αὐτῆς ἐν παντὶ πράγματι, ἐνδυσάμενος τὴν πίστιν τὴν ἰσχυρὰν καὶ δυνατήν. ἡ γὰρ πίστις πάντα ἐπαγγέλλεται, πάντα τελειοῖ, ἡ δὲ διψυχία μὴ καταπιστεύουσα ἑαυτὴν πάντων ἀποτυγχάνει τῶν ἔργων αὐτῆς ὧν πράσσει (βλέπε οὖν ὅτι ἡ διψυχία παρὰ τοῦ διαβόλου ἐστίν A.). σὺ οὖν δούλευε τῇ εὐχῇ (δούλευε ἐκ τῆς ψυχῆς A.) σου τῇ δυνάμει τῆς πίστεως (τ. δυν. τ. π. om. A.), καὶ ζήσῃ τῷ θεῷ, καὶ πάντες οἱ καταφρονοῦντες (οἱ ταῦτα φρονοῦντες ζήσονται A.) εἰς τοὺς αἰῶνας. ἀμήν (ἀμήν om. A.).

Antiochus Hom. LXXXV p. 1162 sq.: Ἄρωμεν οὖν ἀφ' ἡμῶν τὴν διψυχίαν καὶ ὀλιγοψυχίαν καὶ μηδ' ὅλως διψυχήσωμεν αἰτήσασθαί τι παρὰ τοῦ θεοῦ λέγοντες ἐν ἑαυτοῖς ὅτι πῶς δύναμαι αἰτήσασθαι παρὰ κυρίου καὶ λαβεῖν ἡμαρτηκὼς τοσαῦτα εἰς αὐτόν; ἀλλ' ἐξ ὅλης τῆς καρδίας σου ἐπίστρεψον ἐπὶ τὸν κύριον καὶ αἰτοῦ παρ' αὐτοῦ ἀδιστάκτως καὶ γνώσει (l. γνώσῃ) τὴν πολλὴν αὐτοῦ εὐσπλαγχνίαν ὅτι οὐ μή σε ἐγκαταλίπῃ, ἀλλὰ τὸ αἴτημα τῆς ψυχῆς σου πληροφορήσει. οὐκ ἔστιν γὰρ ὁ θεὸς ὡς οἱ ἄνθρωποι μνησικακοῦντες, ἀλλ' αὐτὸς ἀμνησίκακός ἐστιν καὶ σπλαγχνίζεται ἐπὶ τὴν ποίησιν αὐτοῦ. σὺ οὖν

---

6. 7. Athanasius de decretis Nic. Syn. p. 4 (Opp. I, 211) τοῦτο δέ, ὡς ὁ Ποιμὴν εἴρηκεν, ἔκγονόν ἐστι διαβόλου.

Mand. IX. 2. λαμβάνῃς in L.[2] correctum e λαμβάνεις. 3. πάντως (super ω notato α) L.[2] 7. αἰτιῶ (super ῶ notato οῦ) L.[2] | μὴ διδόντα Ps.-Ath. (B.) v. Hg.[1], διδόντα L.[2] p. ae. ed. pr. Ti. Gh. F., διδοῦντα Ps.-Ath. (A.) Ant. 9. καὶ λίαν L.[2] v. ed. pr. Ti. Hg.[1], καί γε λίαν Ps.-Ath. (p.?) Gh. F. | πιστοὺς καὶ Ps.-Ath. v. p. Gh. F., om. L.[2] Ti. Hg.[1], καὶ πιστοὺς post ἰσχυροὺς ed. pr. | αὐτὴ scripsi, αὕτη L.[2] v. p. et edd., om. ae. 10. θυγάτηρ (Ps.-Ath.) Ant. (cf. Athan.) v. p. ae. Hg.[1] Gh. F., ἀδελφὴ L.[2] ed. pr. Ti. 11. αὐτῆς in L.[2] primum erat αὐτοῖς (cf. Ti. Gh.), αὐτοὺς legit Ang.

ἰσχυρὰν καὶ δυνατήν. ἡ γὰρ πίστις πάντα ἐπαγγέλλεται, πάντα τελειοῖ, ἡ δὲ διψυχία μὴ καταπιστεύουσα ἑαυτῇ πάντων ἀποτυγχάνει
11 τῶν ἔργων αὐτῆς ὧν πράσσει. [11]βλέπεις οὖν', φησίν, 'ὅτι ἡ πίστις ἄνωθέν ἐστι παρὰ τοῦ κυρίου καὶ ἔχει δύναμιν μεγάλην· ἡ δὲ διψυχία ἐπίγειον πνεῦμά ἐστι παρὰ τοῦ διαβόλου, δύναμιν μὴ 5
ἔχουσα. σὺ οὖν δούλευε τῇ ἐχούσῃ δύναμιν, τῇ πίστει, καὶ ἀπὸ τῆς διψυχίας ἀπόσχου τῆς μὴ ἐχούσης δύναμιν, καὶ ζήσῃ τῷ θεῷ. καὶ πάντες ζήσονται τῷ θεῷ οἱ ταῦτα φρονήσαντες'.

Ἐντολὴ ι'.

1 I. 'Ἆρον ἀπὸ σεαυτοῦ', φησί, 'τὴν λύπην· καὶ γὰρ αὐτὴ ἀδελφή 10
2 ἐστι τῆς διψυχίας καὶ τῆς ὀξυχολίας'. [2]'Πῶς', φημί, 'κύριε, ἀδελφή ἐστι τούτων; ἄλλο γάρ μοι δοκεῖ εἶναι ὀξυχολία, καὶ ἄλλο διψυχία, καὶ ἄλλο λύπη'. 'Ἀσύνετος εἶ, ἄνθρωπε. οὐ νοεῖς ὅτι ἡ λύπη πάντων τῶν πνευμάτων πονηροτέρα ἐστὶ καὶ δεινοτάτη τοῖς δού-
λοις τοῦ θεοῦ καὶ παρὰ πάντα τὰ πνεύματα καταφθείρει τὸν ἄν- 15
3 θρωπον καὶ ἐκτρίβει τὸ πνεῦμα τὸ ἅγιον καὶ πάλιν σώζει'; [3]'Ἐγώ',

καθάρισον τὴν καρδίαν σου ἀπὸ τοῦ διστάζειν καὶ αἰτοῦ παρ' αὐτῷ (l. αὐτοῦ) καὶ λήψῃ τὸ αἴτημά σου. ἐπὰν δὲ διστάζεις (l. ἐὰν δὲ διστάζῃς), οὐ λήψῃ· οἱ γὰρ διστάζοντες εἰς τὸν θεόν, οὗτοί εἰσιν οἱ δίψυχοι καὶ οὐδὲν ὅλως ἐπιτυγχάνουσιν τῶν αἰτημάτων αὐτῶν. οἱ δὲ ὁλοτελεῖς ὄντες τῇ πίστει πάντα αἰτοῦνται, πεποιθότες ἐπὶ τὸν κύριον καὶ λαμβάνουσιν, ὅτι ἀδιστάκτως αἰτοῦνται. ἐὰν δὲ καὶ βραδύτερον λαμβάνεις, μὴ διψυχήσῃς, ὅτι οὐκ ἔλαβες ταχὺ τὸ αἴτημα τῆς ψυχῆς σου· πάντως γὰρ διὰ πειρασμόν τινα ἢ παράπτωμά τι ὃ συ ἀγνοεῖς βραδύτερον λαμβάνεις. σὺ οὖν μὴ διαλίπῃς αἰτούμενος τὸ αἴτημα τῆς ψυχῆς σου καὶ λήψῃ αὐτό· ἐὰν δὴ (l. δὲ) ἐκκακήσεις (l. ἐκκακήσῃς) αἰτούμενος, σεαυτὸν αἰτιῶ καὶ μὴ τὸν (μὴ add. Fabricius) διδοῦντά (l. διδόντα) σοι· ἡ γὰρ διψυχία θυγάτηρ ἐστὶν τοῦ διαβόλου καὶ λίαν πονηρεύεται εἰς τοὺς δούλους τοῦ θεοῦ. συ οὖν ἔνδυσαι τὴν πίστιν τὴν ἰσχυράν.

Mand. X, p. 60, 10—p. 64, 11. Pseudo-Athanasius ad Antiochum c. 11 p. 23 sq.: Ἄκουε καὶ τῆς ἑνδεκάτης ἐντολῆς· ἆρον ἀπὸ σοῦ τὴν λύπην· καὶ γὰρ αὕτη (αὐτὴ A.) ἀδελφή ἐστι τῆς διψυχίας καὶ τῆς ὀξυχολίας. λέγει ὁ Ἀντίοχος Πῶς, κύριε, ἀδελφή ἐστι τούτων; ἄλλο γάρ μοι δοκεῖ ὀξυχολία, καὶ ἄλλο διψυχία (καὶ ἄλλο διψ. om. A.), καὶ ἄλλο λύπη. λέγει αὐτῷ ὁ ἐπίσκοπος Διὰ τί οὐ νοεῖς τὰ λεγόμενά σοι; καὶ γὰρ ἐκεῖνοι (ἐκ. γὰρ A.) οὐ νοοῦσιν οἱ βάλλοντες ἑαυτοὺς εἰς τὰ σαρκικὰ καὶ κοσμικὰ (κοσμ. κ. σαρκικὰ A.) πράγματα. οὐ νοεῖς ὅτι ἡ λύπη πάντων τῶν παθῶν πονηροτέρα ἐστὶν (οὐ νοεῖς ὅτι πονηροτάτη ἐστιν A.) καὶ δεινοτάτη τοῖς δούλοις τοῦ θεοῦ καὶ παρὰ πάντα τὰ

Mand. IX. 2. ἑαυτῇ L.[2] et edd., ἑαυτὴν Ps.-Ath. | πάντων Ps.-Ath. v. (p.) ed. pr. Hg.[1] Gh. F., πάντα L.[2] Ti. 3. ὧν Ps.-Ath. v. (p.) et edd., ὡς L.[2] 8. φρονήσαντες L.[2] ed. pr. Ti. Hg.[1], φρονήσοντες ae., φρονοῦντες Ps.-Ath. p. Gh. F.
Mand. X, I. 10. αὐτὴ (cf. p. 59, 9) L.[2] Ps.-Ath. (A.) ae. Ti., αὕτη Ps.-Ath. (B.) v. p. ed. pr. Hg.[1] Gh. F. 11. φημί in L.[2] correctum e φησί. 12. ἄλλο pr. (super o notato η) L.[2] 12. καὶ ἄλλο διψυχία L.[2] (v.) Ps-Ath· (B.) p. ae. ed. pr. Ti. Hg.[1] F., om. Ps.-Ath. (A.) Gh. 15. πάντα Ps.-Ath. (B.) et edd., πάντων L.[2]

φημί, ,κύριε, ἀσύνετός εἰμι καὶ οὐ συνίω τὰς παραβολὰς ταύτας.
πῶς γὰρ δύναται ἐκτρίβειν καὶ πάλιν σώζειν, οὐ νοῶ'. [4] ,Ἄκουε', 4
φησίν· ,οἱ μηδέποτε ἐρευνήσαντες περὶ τῆς ἀληθείας, μηδὲ ἐπιζητή-
σαντες περὶ τῆς θεότητος, πιστεύσαντες δὲ μόνον, ἐμπεφυρμένοι
5 δὲ πραγματείαις καὶ πλούτῳ καὶ φιλίαις ἐθνικαῖς καὶ ἄλλαις πολλαῖς
πραγματείαις τοῦ αἰῶνος τούτου, ὅσοι οὖν τούτοις πρόσκεινται, οὐ
νοοῦσι τὰς παραβολὰς τῆς θεότητος· ἐπισκοτοῦνται γὰρ ὑπὸ τού-
των τῶν πράξεων καὶ καταφθείρονται καὶ γίνονται κεχερσωμένοι.
[5] καθὼς οἱ ἀμπελῶνες οἱ καλοί, ὅταν ἀμελείας τύχωσι, χερσοῦνται 5
10 ἀπὸ τῶν ἀκανθῶν καὶ βοτανῶν ποικίλων, οὕτως οἱ ἄνθρωποι οἱ
πιστεύσαντες καὶ εἰς ταύτας τὰς πράξεις τὰς πολλὰς ἐμπίπτοντες
τὰς προειρημένας ἀποπλανῶνται ἀπὸ τῆς διανοίας αὐτῶν [καὶ οὐδὲν
ὅλως συνίουσι περὶ πλούτου πραγματευόμενοι· ἀλλ' ἐὰν καὶ ἀκού-
σωσι περὶ τοῦ κυρίου, ἡ διάνοια αὐτῶν ἐν ταῖς πραγματείαις αὐ-
15 τῶν] καταγίνεται, καὶ οὐδὲν ὅλως νοοῦσιν. [6] οἱ δὲ φόβον ἔχοντες 6

πνεύματα καταφθείρει τὸν ἄνθρωπον (καὶ παρὰ πάντα — ἄνθρωπον om. A.). οἱ δὲ φόβον ἔχοντες θεοῦ καὶ ἐρευνῶντες περὶ θεοῦ ἔργων καὶ ἀληθείας (οἱ δὲ τὸν φόβον τοῦ θεοῦ ἔχοντες δικαιοσύνης ἔργον καὶ ἀληθείας ἐπιτελοῦσιν A.) καὶ τὴν καρδίαν (καὶ τὸν νοῦν add. A.) ἔχοντες πρὸς κύριον πάντα τὰ λεγόμενα αὐτοῖς τάχιον νοοῦσι (πρὸς κύριον τυγχάνουσι A.) καὶ συνίουσιν, ὅτι (διότι A.) καθαροί εἰσιν καὶ ἀμέριμνοι ἀπὸ πάσης φροντίδος (τοῦ βίου add. A.) καὶ μερίμνης κοσμικῆς, καὶ οὐδὲν ἄλλο (ἄλλο om. A.) εἰ μὴ (μόνον add. A.) τὸν φόβον τοῦ θεοῦ ἔχουσιν ἐν ἑαυτοῖς· ὅπου γὰρ ὁ κύριος κατοικεῖ, ἐκεῖ καὶ (ἐκεῖ ἔστιν A.) σύνεσις πολλή. κολλήθητι οὖν τῷ κυρίῳ καὶ πάντα νοήσεις. ἄκουε οὖν (οὖν om. A.), πῶς ἡ λύπη ἐκτρίβει τὸ πνεῦμα καὶ πάλιν σώζει. ὅταν ὁ δίψυχος ἐπιβάληται πρᾶξαί τι καὶ ἀποτύχῃ διὰ τὴν διψυχίαν αὐτοῦ, ἡ λύπη ἐκπορεύεται (πορεύεται A.) εἰς τὸν ἄνθρωπον καὶ λυπεῖ τὸ πνεῦμα τὸ ἅγιον καὶ στενοχωρεῖ αὐτό (αὐτό om. A.). εἶτα πάλιν ἡ ὀξυχολία ὅταν κολληθῇ τῷ ἀν-

Mand. X, I. 1. φημί v. p. ae. et edd., φησί L.[2] | τὰς παραβολὰς in L.[2] correctum e τὰς (non γὰρ) βουλάς. 2. νουῶ L.[2] 4. ἐμπεφυρμένοι v. p. et edd., ἐκπεφυρμένοι L.[2]. 5. δὲ Ti. exspectavit εἰσί. | καὶ φιλίαις ἐθνικαῖς. hic versio vulgata inseruit, quae in codice L.[2] (p. 64, 16—65, 16 ψευδοπροφήτης ἐστὶν — τὰς ἐπιθυμίας τῶν ἀνθρώρων) p. ae. recte Mand. XI sequuntur: et alius mendax prophetes est — loquitur secundum desiderium. in mea Hermae latini editione ordo iam restitutus est. 9. καθὼς v. ae. Hg.[1] Gh. F., καὶ ὡς L.[2] ed. pr. Ti. 11. πιστεύσαντες L.[2] v. ae. et edd., πιστεύσαντες μόνον p. Hb. | ἐμπίπτοντες v. ae. Hb. Gh. F., ἐκπίπτοντες L.[2] (cf. Vis. III, 2, 7. p. 16, 4) ed. pr. Ti. Hg.[1] 12—15. [καὶ οὐδὲν ὅλως — ἐν ταῖς πραγματείαις αὐτῶν] καταγίνεται restitui e versionibus; καταγίνονται (Simon. superscr. καὶ κενοῦνται) L.[2] Ti. (κενοῦνται ed. pr.); et nihil omnino intelligunt de divitiis agentes (de divinitate Gh.), sed si quando audierint de domino (divinitate? Gh.), sensus eorum in negotiis ipsorum est v.; et nihil omnino de iustitia intelligunt, quia quando audiunt de iustitia, sensus illorum in actus ipsorum est p. (itaque Hg.[1]: καὶ οὐδὲν ὅλως συνίουσι περὶ τῆς δικαιοσύνης· εἰ γὰρ καὶ ἀκούουσι περὶ δικαιοσύνης, ἡ διάνοια αὐτῶν ἐν ταῖς πράξεσιν αὐτῶν); nec quidquam unquam omnino cognoscunt praeter (l. quod attinet ad) iustitiam. et etiamsi e libro dei audiant, cor eorum nonnisi in illorum negotiorum meditatione occupatum est ae.; καὶ οὐδὲν ὅλως συνίουσι περὶ τῆς θεότητος· καὶ γὰρ ἐὰν ἀκούσωσι περὶ θεότητος, ἡ διάνοια αὐτῶν ἐν ταῖς πράξεσιν αὐτῶν] καταγίνεται Gh. F.

θεοῦ καὶ ἐρευνῶντες περὶ θεότητος καὶ ἀληθείας καὶ τὴν καρδίαν ἔχοντες πρὸς κύριον πάντα τὰ λεγόμενα αὐτοῖς τάχιον νοοῦσι καὶ συνίουσιν, ὅτι ἔχουσι τὸν φόβον τοῦ κυρίου ἐν ἑαυτοῖς· ὅπου γὰρ ὁ κύριος κατοικεῖ, ἐκεῖ καὶ σύνεσις πολλή· κολλήθητι οὖν τῷ κυρίῳ

1 καὶ πάντα συνήσεις καὶ νοήσεις. II. ἄκουε οὖν', φησίν, 'ἀνόητε,

2 πῶς ἡ λύπη ἐκτρίβει τὸ πνεῦμα τὸ ἅγιον καὶ πάλιν σώζει. [2]ὅταν ὁ δίψυχος ἐπιβάληται πρᾶξίν τινα καὶ ταύτης ἀποτύχῃ διὰ τὴν διψυχίαν αὐτοῦ, ἡ λύπη αὕτη εἰσπορεύεται εἰς τὸν ἄνθρωπον καὶ

3 λυπεῖ τὸ πνεῦμα τὸ ἅγιον καὶ ἐκτρίβει αὐτό. [3]εἶτα πάλιν ἡ ὀξυχολία ὅταν κολληθῇ τῷ ἀνθρώπῳ περὶ πράγματός τινος, καὶ λίαν πικρανθῇ, πάλιν ἡ λύπη εἰσπορεύεται εἰς τὴν καρδίαν τοῦ ἀνθρώπου τοῦ ὀξυχολήσαντος, καὶ λυπεῖται ἐπὶ τῇ πράξει αὐτοῦ ᾗ ἔπραξε καὶ

4 μετανοεῖ, ὅτι πονηρὸν εἰργάσατο. [4]αὕτη οὖν ἡ λύπη δοκεῖ σωτηρίαν ἔχειν, ὅτι τὸ πονηρὸν πράξας μετενόησεν. ἀμφότεραι οὖν αἱ πράξεις λυποῦσι τὸ πνεῦμα· ἡ μὲν διψυχία, ὅτι οὐκ ἐπέτυχε τῆς 1 πράξεως αὐτῆς, ἡ δὲ ὀξυχολία λυπεῖ τὸ πνεῦμα, ὅτι ἔπραξε τὸ πονηρόν. ἀμφότερα οὖν λυπηρά ἐστι τῷ πνεύματι τῷ ἁγίῳ, ἥ τε

θρώπῳ περὶ πράγματός τινος καὶ λίαν πικρανθῇ καὶ ποιήσῃ τι κακόν, πάλιν ἡ λύπη εἰσπορεύεται εἰς τὴν καρδίαν τοῦ ἀνθρώπου τοῦ ὀξυχολήσαντος (τοῦ ὀξυχ. om. A.), καὶ λυπεῖται ἐπὶ τῇ πράξει αὐτοῦ ᾗ ἔπραξεν καὶ μετανοεῖ (μεταμελεῖται A.), ὅτι πονηρὸν εἰργάσατο. αὕτη οὖν ἡ λύπη δοκεῖ σωτηρίαν ἔχειν, ὅτι τὸ (τὸ om. A.) πονηρὸν πράξας μετενόησεν. ἀμφότεραι δὲ τῶν πράξεων (ἀμφ. οὖν αἱ πράξεις) λυποῦσι τὸν ἄνθρωπον· ἡ μὲν διψυχία ὅτι οὐκ ἐπέτυχε (ἔτυχεν A.) τῆς πράξεως (αὐτοῦ add. A.), ἡ δὲ ὀξυχολία ὅτι ἔπραξεν τὸ πονηρόν. ἀμφότερα οὖν λυπηρά ἐστι (εἰσὶν A.) τῷ πνεύματι τῷ ἁγίῳ. ἆρον οὖν ἀπὸ σοῦ τὴν λύπην (τὴν λύπην ἀπὸ σοῦ A.) καὶ μὴ θλῖβε τὸ πνεῦμα τὸ ἅγιον τὸ ἐν σοὶ κατοικοῦν, μή ποτε ἐντεύξηται (κατὰ σοῦ add. A.) τῷ θεῷ (τοῦ θεοῦ A.) καὶ ἀποστῇ ἀπὸ σοῦ. τὸ γὰρ πνεῦμα τοῦ θεοῦ τὸ δοθὲν εἰς τὴν σάρκα ταύτην λύπην σαρκικὴν οὐχ ὑποφέρει οὐδὲ στενοχωρίαν. λύπη γὰρ ἡ ἐπὶ τοῖς πρώτοις (προτέροις A.) ἁμαρτήμασι μόνη ἔχει ὠφέλειαν, ἐὰν μὴ πάλιν ἁμαρτήσῃς. ἔνδυσαι οὖν τὴν ἱλαρότητα τὴν πάντοτε ἔχουσαν χάριν παρὰ τῷ θεῷ καὶ εὐπρόσδεκτον οὖσαν αὐτῷ καὶ ἐντρύφησον ἐν αὐτῇ (ἔνδυσαι — ἐν αὐτῇ om. A.). πᾶς γὰρ ἱλαρὸς ἀνὴρ ἀγαθὰ ἐργάζεται καὶ ἀγαθὰ φρονεῖ καὶ καταφρονεῖ τῆς ματαίας λύπης· ὁ δὲ λυπηρὸς ἀνὴρ πάντοτε ὀργίζεται καὶ ἀνομίαν ἐργάζεται (πάντοτε πονηρεύεται. πρῶτον μὲν πονηρεύεται, ὅτι λυπεῖ τὸ πνεῦμα τὸ ἅγιον τὸ δοθὲν τῷ ἀνθρώπῳ ἱλαρόν. δεύτερον δὲ λυπῶν τὸ πνεῦμα ἀνομίαν ἐργάζεται A.) μὴ ἐντυγχάνων μηδὲ ἐξομολογούμενος τῷ θεῷ (τοῦ θεοῦ A.). πάντοτε γὰρ λυπηροῦ ἀνδρὸς ἡ ἔντευξις οὐκ ἔχει δύναμιν τοῦ ἀναβῆναι ἐπὶ τὸ θυσια-

Mand. X, I. 2. 3. τάχιον νοοῦσι καὶ συνίουσιν Ps.-Ath. (B.) v. (percipiunt et statim intelligunt) p. (intelligunt et cito audiunt) ae. (intelligunt omnia quae iis dicuntur et cognoscunt) ed. pr. Hg.[1] Gh. F., ταχύνουσι καὶ νοοῦσιν L.[2] Ti., τυγχάνουσι καὶ συνίουσιν Ps.-Ath. (A.).

II. 6. ἡ λύπη L.[2] (ubi sequens αὕτη postmodo deletum est) Ps.-Ath. v. p. ae. ed. pr. Hg.[1] Gh. F., ἡ λύπη αὕτη Ti. | ἐκτρίβει τὸ Ps.-Ath. v. p. ae. et edd., ἐκτρίβετο L.[2] 10. λίαν Ps.-Ath. v. p. ae. ed. pr. Gh. F., om. L.[2] Ti. Hg.[1] 13. 14. αὕτη οὖν — μετενόησεν L.[2] Ps.-Ath. p. ae. et edd., om. v. 14. 15. αἱ πράξεις L.[2] v. ae. et edd., actus tristitiae p., αἱ πράξεις τῆς λύπης Hb. 17. ἥ τε v. p. ae. et edd., ἡ δὲ L.[2]

διψυχία καὶ ἡ ὀξυχολία. [5]ἆρον οὖν ἀπὸ σεαυτοῦ τὴν λύπην καὶ μὴ θλῖβε τὸ πνεῦμα τὸ ἅγιον τὸ ἐν σοὶ κατοικοῦν, μήποτε ἐντεύξηται κατὰ σοῦ τῷ θεῷ καὶ ἀποστῇ ἀπὸ σοῦ. [6]τὸ γὰρ πνεῦμα τοῦ θεοῦ τὸ δοθὲν εἰς τὴν σάρκα ταύτην λύπην οὐχ ὑποφέρει οὐδὲ στενοχωρίαν. III. ἔνδυσαι οὖν τὴν ἱλαρότητα τὴν πάντοτε ἔχουσαν χάριν παρὰ τῷ θεῷ καὶ εὐπρόσδεκτον οὖσαν αὐτῷ καὶ ἐντρύφα ἐν αὐτῇ. πᾶς γὰρ ἱλαρὸς ἀνὴρ ἀγαθὰ ἐργάζεται καὶ ἀγαθὰ φρονεῖ καὶ καταφρονεῖ τῆς λύπης· [2]ὁ δὲ λυπηρὸς ἀνὴρ πάντοτε πονηρεύεται· πρῶτον μὲν πονηρεύεται, ὅτι λυπεῖ τὸ πνεῦμα τὸ ἅγιον τὸ δοθὲν τῷ ἀνθρώπῳ ἱλαρόν· δεύτερον δὲ λυπῶν τὸ πνεῦμα τὸ ἅγιον ἀνομίαν ἐργάζεται, ἐντυγχάνων μὴ ἐξομολογούμενος τῷ κυρίῳ, καὶ οὐκ ἐπιτυγχάνει ἀπὸ θεοῦ ὃ αἰτεῖται. πάντοτε γὰρ

στήριον τοῦ θεοῦ, ὅτι ἡ λύπη ἐγκάθηται εἰς τὴν καρδίαν (ἐν τῇ καρδίᾳ A.) αὐτοῦ. μεμιγμένη οὖν ἡ λύπη ἡ κοσμικὴ μετὰ τῆς ἐντεύξεως οὐκ ἀφίησι τὴν ἔντευξιν ἀναβῆναι καθαρὰν εἰς (πρὸς A.) τὸ θυσιαστήριον (τοῦ θεοῦ add. A.). ὥσπερ γὰρ ὄξος οἴνῳ μεμιγμένον τὴν αὐτὴν ἡδονὴν οὐκ ἔχουσιν (ἔχει A.), οὕτως καὶ λύπη μεμιγμένη μετὰ τοῦ ἁγίου (ἁγ. om. A.) πνεύματος τὴν αὐτὴν ἔντευξιν οὐκ ἔχει. καθάρισον οὖν ἑαυτόν (σεαυτόν A.) ἀπὸ τῆς λύπης τῆς πονηρᾶς ταύτης, καὶ ζήσῃ τῷ θεῷ (καὶ ἅπαντες ὅσοι ἀποβάλλονται τὴν λύπην ἀφ' ἑαυτῶν καὶ ἐνδύνονται ἀγάπην καὶ ἱλαρότητα, ζήσονται add. A.) εἰς τοὺς αἰῶνας. ἀμήν.

Antiochus Hom. XXV. p. 1067 sq.: ἆρον οὖν ἀπὸ σοῦ ταύτην τὴν λύπην καὶ μὴ λύπει τὸ πνεῦμα τὸ ἅγιον τὸ κατοικοῦν ἐν σοί, μήποτε ἐντεύξηται τῷ θεῷ καὶ ἀποστῇ ἀπὸ σοῦ. τὸ γὰρ πνεῦμα τοῦ θεοῦ τὸ δοθὲν εἰς τὴν σάρκα ταύτην

Mand. X, II. 3. κατὰ σοῦ L.[2] Ps.-Ath. (A.) Ti. Hg.[1] Gh. F., om. v. p. ae. Ps.-Ath. (B.) Ant. | τῷ θεῷ Ps.-Ath. Ant. p. ed. pr. Hg.[1] Gh. F., τῷ κυρίῳ v. ae., om. L.[2] Ti.

III. 7. ἀγαθὰ L.[2] v. ae. et edd., ἀεὶ ἀγαθὰ p. Hb. 8. πάντοτε Ps.-Ath. Ant. p. ae. ed. pr. Hg.[1] Gh. F., πάντε L.[2] (Gh.), πάντα Ti., om. v. 10—12. δεύτερον δὲ λυπῶν τὸ πνεῦμα τὸ ἅγιον ἀνομίαν ἐργάζεται ἐντυγχάνων μὴ ἐξομολογούμενος τῷ κυρίῳ scripsi, δεύτ. δὲ λυπῶν τὸ πν. τὸ ἅγ. ἀνομίαν ἐργ. μὴ ἐπιτυγχάνων μηδὲ ἐξομολογούμενος τῷ κυρίῳ L.[2] Ti., δεύτ. δὲ λυπῶν τὸ πνεῦμα ἀνομίαν ἐργάζεται μὴ ἐντυγχάνων μηδὲ ἐξομολογούμενος τῷ θεῷ Ps.-Ath. (τοῦ θεοῦ A.), δεύτερον δὲ λοιπὸν (l. λυπῶν) ἀνομίαν ἐργάζεται μὴ ἐξομολογούμενον (l. ἐξομολογούμενος) τῷ κυρίῳ Ant.; et iterum male facit, quod tristis orat dominum et non ante facit exomologesim v.; deinde secundo loco quam pessimam rem admittit ille qui contristat spiritum sanctum neque confitetur deo p.; et secundo contristat spiritum sanctum, quia peccatum fecit ae.; δεύτ. δὲ λυπῶν τὸ πν. τ. ἅγ. ἀνομ. ἐργάζεται, μὴ ἐντυγχάνων μηδὲ ἐξομολογούμενος τῷ θεῷ ed. pr. Hg.[1] (τῷ κυρίῳ), δεύτερον δὲ λοιπὸν ἀνομίαν ἐργάζεται, μὴ ἐντυγχάνων μηδὲ ἐξομολογούμενος τῷ θεῷ Gh. F. l. 11. μηδὲ ante se μὴ postulare videbatur. quod additum est ante ἐντυγχάνων. 10. 11. λυπῶν τὸ πνεῦμα τὸ ἅγιον L.[2] Ps.-Ath. (A.) p. ae. ed. pr. Ti. Hg.[1], tristis v., λοιπὸν (corrupte) Ant. Gh. F. 11. ἐντυγχάνων v. (orat dominum), μὴ ἐντυγχάνων Ps.-Ath. ed. pr. Hg.[1] Gh. F., μὴ ἐπιτυγχάνων L.[2] Ti., om. Ant. p. ae. | μὴ Ant., μηδὲ L.[2] v. p. Ps.-Ath. et edd., μηδὲ ἐξομ. om. ae. verte: ne confitens quidem domino. huic μηδὲ ante ἐντυγχάνων anteponendum esse videbatur μή. fort. scribendum est μὴ δὲ κτλ. 11. 12. τῷ κυρίῳ L.[2] v. Ti. Hg.[1], τῷ θεῷ Ps.-Ath. p. ed. pr. Gh. F. 12. καὶ οὐκ ἐπιτυγχάνει ἀπὸ θεοῦ ὃ αἰτεῖται (cf. Mand. IX, 5) v. (et non impetrat a deo quod petit) ae. (non enim assecutus est confessus domino), om. L.[2] p. Ps.-Ath. Ant. et edd., quamvis confirmata sequente γάρ.

λυπηροῦ ἀνδρὸς ἡ ἔντευξις οὐκ ἔχει δύναμιν τοῦ ἀναβῆναι ἐπὶ τὸ
3 θυσιαστήριον τοῦ θεοῦ'. [3],Διὰ τί', φημί, ,οὐκ ἀναβαίνει ἐπὶ τὸ
θυσιαστήριον ἡ ἔντευξις τοῦ λυπουμένου'; ,Ὅτι', φησίν, ἡ λύπη
ἐγκάθηται εἰς τὴν καρδίαν αὐτοῦ· μεμιγμένη οὖν ἡ λύπη μετὰ τῆς
ἐντεύξεως οὐκ ἀφίησι τὴν ἔντευξιν ἀναβῆναι καθαρὰν ἐπὶ τὸ θυ- 5
σιαστήριον τοῦ θεοῦ. ὥσπερ γὰρ ὄξος καὶ οἶνος μεμιγμένα ἐπὶ
τὸ αὐτὸ τὴν αὐτὴν ἡδονὴν οὐκ ἔχουσιν, οὕτω καὶ ἡ λύπη μεμιγ-
μένη μετὰ τοῦ ἁγίου πνεύματος τὴν αὐτὴν ἔντευξιν οὐκ ἔχει.
4 [4]καθάρισον οὖν σεαυτὸν ἀπὸ τῆς λύπης τῆς πονηρᾶς ταύτης, καὶ
ζήσῃ τῷ θεῷ· καὶ πάντες ζήσονται τῷ θεῷ, ὅσοι ἂν ἀποβάλωσιν 10
ἀφ' ἑαυτῶν τὴν λύπην καὶ ἐνδύσωνται πᾶσαν ἱλαρότητα'.

Ἐντολὴ ια'.

1 Ἔδειξέ μοι ἐπὶ συμψελλίου καθημένους ἀνθρώπους καὶ ἕτερον
ἄνθρωπον καθήμενον ἐπὶ καθέδραν. καὶ λέγει μοι ,Βλέπεις τοὺς
ἐπὶ τοῦ συμψελλίου καθημένους'; ,Βλέπω', φημί, ,κύριε'. ,Οὗτοι', 15
φησί, ,πιστοί εἰσι, καὶ ὁ καθήμενος ἐπὶ τὴν καθέδραν ψευδοπρο-
φήτης ἐστὶν ἀπολλύων τὴν διάνοιαν τῶν δούλων τοῦ θεοῦ· τῶν
2 διψύχων δὲ ἀπόλλυσιν, οὐ τῶν πιστῶν. [2]οὗτοι οὖν οἱ δίψυχοι
ὡς ἐπὶ μάντιν ἔρχονται καὶ ἐπερωτῶσιν αὐτόν, τί ἄρα ἔσται αὐτοῖς·
κἀκεῖνος ὁ ψευδοπροφήτης μηδεμίαν ἔχων ἐν ἑαυτῷ δύναμιν πνεύ- 20

λύπην οὐχ ὑποφέρει οὐδὲ στενοχωρίαν. ἔνδυσαι οὖν τὴν ἱλαρότητα τὴν πάντοτε ἔχουσαν χάριν παρὰ τῷ θεῷ καὶ ἐντρύφα ἐν αὐτῇ. ὁ γὰρ ἱλαρὸς ἀνὴρ ἀγαθὰ ἐργάζεται καὶ καταφρονεῖ τῆς λύπης· ὁ δὲ λυπηρὸς ἀνὴρ πάντοτε πονηρεύεται. πρῶτον μὲν πονηρεύεται, ὅτι λυπεῖ τὸ πνεῦμα τὸ ἅγιον τὸ δοθὲν τῷ ἀνθρώπῳ ἱλαρόν. δεύτερον δὲ λοιπὸν (l. λυπῶν) ἀνομίαν ἐργάζεται μὴ ἐξομολογούμενον (l. ἐξομολογούμενος) τῷ κυρίῳ. τοῦ γὰρ λυπηροῦ ἀνδρὸς ἡ ἔντευξις οὐκ ἔχει δύναμιν ἀναβῆναι ἐπὶ τὸ θυσιαστήριον τοῦ θεοῦ. ἐγκάθηται γὰρ ἡ λύπη εἰς τὴν καρδίαν αὐτοῦ. μεμιγμένη οὖν λύπη μετὰ τῆς ἐντεύξεως οὐκ ἀφίησιν τὴν ἔντευξιν ἀναβῆναι καθαρὰν πρὸς τὸ θυσιαστήριον. ὥσπερ γὰρ ὄξος καὶ οἶνος μεμιγμένος ἐπὶ τὸ αὐτὸ τὴν αὐτὴν ἡδονὴν οὐκ ἔχουσιν, οὕτως καὶ ἡ λύπη μεμιγμένη μετὰ τοῦ πνεύματος τοῦ ἁγίου τὴν αὐτὴν ἔντευξιν οὐκ ἔχει. καλὸν οὖν ἐστὶν ἀποβαλεῖν ἀφ' ἑαυτῶν τὴν λύπην καὶ ἐνδύσασθαι πᾶσαν ἱλαρότητα.

Mand. X, III. 1. λυπηροῦ v. p. Ps.-Ath. Ant. et edd., λυπηρὸν L.[2] 4. εἰς Ps.-Ath. Ant. v. p. ae. Hg.[1] Gh. F., ἐπὶ L.[2] ed. pr. Ti. 6. τοῦ θεοῦ Ps.-Ath. (A.) v. p. Hg.[1], om. L.[2] Ps.-Ath. (B.) Ant. ae. ed. pr. Ti. Gh. F. 9. οὖν v. p. ae. Ps.-Ath. F., om. L.[2] ed. pr. Ti. Hg.[1]
Mand. XI. 16. ἐπὶ τὴν καθέδραν. vulg. versio iam praeceptis sequentibus (cf. quae ad p. 61, 5 notata sunt) statim transit ad p. 69, 22 (ἐπίγειόν ἐστι κτλ.): spiritus terrestris est. in Hermae latini editione ordinem restitui. 17. ἀπολλύων v. p. ae. ed. pr. Hg.[1] Gh. F., ἀπόλλων L.[2] Ti. 19. μάντιν (super ι notato η) L.[2]

ματος θείου, λαλεῖ αὐτοῖς κατὰ τὰ ἐπερωτήματα αὐτῶν καὶ κατὰ τὰς ἐπιθυμίας τῆς πονηρίας αὐτῶν καὶ πληροῖ τὰς ψυχὰς αὐτῶν, καθὼς αὐτοὶ βούλονται. [3]αὐτὸς γὰρ κενὸς ὢν κενὰ καὶ ἀποκρίνεται κενοῖς· ὃ γὰρ ἐὰν ἐπερωτηθῇ, πρὸς τὸ κένωμα τοῦ ἀνθρώπου ἀποκρίνεται. τινὰ δὲ καὶ ῥήματα ἀληθῆ λέγει· ὁ γὰρ διάβολος πληροῖ αὐτὸν τῷ αὑτοῦ πνεύματι, εἴ τινα δυνήσεται ῥῆξαι τῶν δικαίων. [4]ὅσοι οὖν ἰσχυροί εἰσιν ἐν τῇ πίστει τοῦ κυρίου, ἐνδεδυμένοι τὴν ἀλήθειαν, τοῖς τοιούτοις πνεύμασιν οὐ κολλῶνται, ἀλλ' ἀπέχονται ἀπ' αὐτῶν. ὅσοι δὲ δίψυχοί εἰσι καὶ πυκνῶς μετανοοῦσι, μαντεύονται ὡς καὶ τὰ ἔθνη καὶ ἑαυτοῖς μείζονα ἁμαρτίαν ἐπιφέρουσιν εἰδωλολατροῦντες· ὁ γὰρ ἐπερωτῶν προφήτην περὶ πράξεώς τινος εἰδωλολάτρης ἐστὶ καὶ κενὸς ἀπὸ τῆς ἀληθείας καὶ ἄφρων. [5]πᾶν γὰρ πνεῦμα ἀπὸ θεοῦ δοθὲν οὐκ ἐπερωτᾶται, ἀλλὰ ἔχον τὴν δύναμιν τῆς θεότητος ἀφ' ἑαυτοῦ λαλεῖ πάντα, ὅτι ἄνωθέν ἐστιν ἀπὸ τῆς δυνάμεως τοῦ θείου πνεύματος. [6]τὸ δὲ πνεῦμα τὸ ἐπερωτώμενον καὶ λαλοῦν κατὰ τὰς ἐπιθυμίας τῶν ἀνθρώπων ἐπίγειόν ἐστι καὶ ἐλαφρόν, δύναμιν μὴ ἔχον· καὶ ὅλως οὐ λαλεῖ, ἐὰν μὴ ἐπερωτηθῇ.' [7],Πῶς οὖν', φημί, ,κύριε, ἄνθρωπος γνώσεται, τίς αὐτῶν προφήτης, καὶ τίς ψευδοπροφήτης ἐστίν'; ,Ἄκουε', φησί, ,περὶ ἀμφοτέρων τῶν προφητῶν· καὶ ὥς σοι μέλλω λέγειν, οὕτω δοκιμάσεις τὸν προφήτην καὶ τὸν ψευδοπροφήτην. ἀπὸ τῆς ζωῆς δοκίμαζε τὸν ἄνθρωπον τὸν ἔχοντα τὸ πνεῦμα τὸ θεῖον. [8]πρῶτον μὲν ὁ ἔχων τὸ πνεῦμα τὸ θεῖον τὸ ἄνωθεν πραΰς ἐστι καὶ ἡσύχιος καὶ ταπεινόφρων καὶ ἀπεχόμενος ἀπὸ πάσης πονηρίας καὶ ἐπιθυμίας ματαίας τοῦ αἰῶνος τούτου καὶ ἑαυτὸν ἐνδεέστερον ποιεῖ πάντων τῶν ἀνθρώπων, καὶ οὐδενὶ οὐδὲν ἀποκρίνεται ἐπερωτώμενος, οὐδὲ καταμόνας λαλεῖ, οὐδὲ ὅταν θέλῃ ἄνθρωπος λαλεῖν, λαλεῖ τὸ πνεῦμα τὸ ἅγιον, ἀλλὰ τότε λαλεῖ, ὅταν θελήσῃ αὐτὸ ὁ θεός λαλῆσαι. [9]ὅταν

Mand. XI, 5—7. Clemens Alex. Strom. I, 17, 85 p. 369 λέγει δὲ καὶ ὁ ποιμὴν ὁ ἄγγελος τῆς μετανοίας τῷ Ἑρμᾷ περὶ τοῦ ψευδοπροφήτου Τινὰ γὰρ ῥήματα ἀληθῆ λαλεῖ· ὁ γὰρ διάβολος αὐτὸν πληροῖ τῷ ἑαυτοῦ πνεύματι, εἴ τινα δυνήσεται ῥῆξαι τῶν δικαίων.

Mand. XI. 1. λαλεῖ αὐτοῖς v. p. ae. (om. αὐτοῖς) Hg.[1] Gh. F., λαλεῖν αὐτῶν L.[2], λαλεῖ αὐτῶν ed. pr. Ti. 1. 2. καὶ κατὰ τὰς ἐπιθυμίας αὐτῶν L.[2] p. ae. et edd., om. v. 3. κενὰ v. (inania) p. (res supervacuas) ae. (vana), κενὸς L.[2], κενῶς edd. 6. ἑαυτοῦ Clem. Al., αὐτοῦ L.[2] et edd. | ῥῆξαι Clem. Al. Hg.[1] Gh. F., ῥᾶξαι L.[2] Ti., δρᾶξαι ed. pr. 11. προφήτην v. (quicunque enim tales sunt v., l.: qu. e. vatem vel: hariolum; ,sunt' iam Gh. del.) p. Hb., ψευδοπροφήτην L.[2] ae. et edd. 16—p. 66, 16. ἐπίγειόν ἐστι καὶ ἐλαφρόν — τοῦτο ποιεῖν θεοῦ προφήτην. haec vulg. versio, iam a me emendata, exhibuit post πρῶτον πάντων p. 68, 11, ubi post ,primum omnium' codd. pergunt: terrestris est et levis. 23. θεῖον τὸ (cf. p. 67, 23) L.[2] (sed prima manu deleta esse videntur) p. ae. (domini) Hg.[1] Gh. F., om. ed. pr. Ti. 26. ἐπερωτώμενος v. p. ae. Hg.[1] Gh. F., ἐπερωτώμενον L.[2] ed. pr. Ti. 28. τὸ ἅγιον ed. pr. Hg.[1] Gh. F., ἅγιον L.[2] Ti. | αὐτὸ p. (ae.) Hg.[1] Gh. F., αὐτόν (super ον notato ο, rursusque οῦ super ο) L.[2], αὐτῷ ed. pr. Ti.

οὖν ἔλθῃ ὁ ἄνθρωπος ὁ ἔχων τὸ πνεῦμα τὸ θεῖον εἰς συναγωγὴν ἀνδρῶν δικαίων τῶν ἐχόντων πίστιν θείου πνεύματος, καὶ ἔντευξις γένηται πρὸς τὸν θεὸν τῆς συναγωγῆς τῶν ἀνδρῶν ἐκείνων, τότε ὁ ἄγγελος τοῦ προφητικοῦ πνεύματος ὁ κείμενος πρὸς αὐτὸν πληροῖ τὸν ἄνθρωπον, καὶ πληρωθεὶς ὁ ἄνθρωπος τῷ πνεύματι τῷ ἁγίῳ
10 λαλεῖ εἰς τὸ πλῆθος, καθὼς ὁ κύριος βούλεται. [10]οὕτως οὖν φανερὸν ἔσται τὸ πνεῦμα τῆς θεότητος. ὅση οὖν περὶ τοῦ πνεύ-
11 ματος τῆς θεότητος τοῦ κυρίου, ἡ δύναμις αὕτη. [11]ἄκουε νῦν', φησί, ,περὶ τοῦ πνεύματος τοῦ ἐπιγείου καὶ κενοῦ καὶ δύναμιν μὴ
12 ἔχοντος, ἀλλ' ὄντος μωροῦ. [12]πρῶτον μὲν ὁ ἄνθρωπος ἐκεῖνος ὁ δοκῶν πνεῦμα ἔχειν ὑψοῖ ἑαυτὸν καὶ θέλει πρωτοκαθεδρίαν ἔχειν, καὶ εὐθὺς ἰταμός ἐστι καὶ ἀναιδὴς καὶ πολύλαλος καὶ ἐν τρυφαῖς πολλαῖς ἀναστρεφόμενος καὶ ἐν ἑτέραις πολλαῖς ἀπάταις καὶ μισθοὺς λαμβάνει τῆς προφητείας αὐτοῦ, ἐὰν δὲ μὴ λάβῃ, οὐ προφητεύει· δύναται οὖν πνεῦμα θεῖον μισθοὺς λαμβάνειν καὶ προφητεύειν; οὐκ ἐνδέχεται τοῦτο ποιεῖν θεοῦ προφήτην, ἀλλὰ τῶν τοιούτων προ-
13 φητῶν ἐπίγειόν ἐστι τὸ πνεῦμα. [13]εἶτα ὅλως εἰς συναγωγὴν ἀνδρῶν δικαίων οὐκ ἐγγίζει, ἀλλ' ἀποφεύγει αὐτούς. κολλᾶται δὲ τοῖς διψύχοις καὶ κενοῖς καὶ κατὰ γωνίαν αὐτοῖς προφητεύει καὶ ἀπατᾷ αὐτοὺς λαλῶν κατὰ τὰς ἐπιθυμίας αὐτῶν πάντα κενῶς· κενοῖς γὰρ κενὰ ἀποκρίνεται. τὸ γὰρ κενὸν σκεῦος μετὰ τῶν κενῶν συντιθέμενον οὐ θραύεται, ἀλλὰ συμφωνοῦσιν ἀλλήλοις.
14 [14]ὅταν δὲ ἔλθῃ εἰς συναγωγὴν πλήρη ἀνδρῶν δικαίων ἐχόντων πνεῦμα θεότητος, καὶ ἔντευξις ἀπ' αὐτῶν γένηται, κενοῦται ὁ ἄνθρωπος ἐκεῖνος, καὶ τὸ πνεῦμα τὸ ἐπίγειον ἀπὸ τοῦ φόβου φεύγει

MAND. IX. 4. ὁ ἄγγελος τοῦ προφητικοῦ πνεύματος p. (nuntius illius spiritus prophetici) ae. (angelus spiritus prophetici) Hg.[1] Gh. F., ὁ ἄγγελος τοῦ προφήτου L.[2], nuncius sanctus divinitatis v. | ὁ κείμενος πρὸς αὐτὸν L.[2] p. ae. et edd., om. v. 5. τὸν ἄνθρωπον L.[2] p. ae. (illum virum) et edd., hominem illum v. 7. 8. ὅση οὖν περὶ τοῦ πνεύματος τῆς θεότητος τοῦ κυρίου, ἡ δύναμις αὕτη L.[2] ed. pr. (περὶ addubitans) Ti. (ut ed. pr.) Gh. F., ὅση οὖν παρὰ τ. πν. τ. θεότητος, τοῦ κυρίου ἡ δύν. αὕτη Hg.[1], quia quicunque spiritu divinitatis loquitur, loquitur, sicut dominus vult v.; quae autem ad agnoscendam virtutem illius spiritus sancti pertinent, haec sunt p.; et talis est vis spiritus domini ae. 8. ἡ δύναμις, αὕτη ed. pr. Ti. Gh. F. | νῦν v. p., οὖν L.[2] et edd., om. ae. 10. μωροῦ v. p. ae. et edd., μωρόν L.[2] 12. ἀναιδὴς em. Simonides, ἀηδὴς L.[2] (Gh.). 14. λαμβάνει v. p. ae. Hg.[1] Gh. F., λαμβάνων L.[2] ed. pr. Ti. 16 sq. ἀλλὰ τῶν τοιούτων προφητῶν L.[2] p. ae. et edd., om. v. (cf. quae ad p. 65, 16 sq. notata sunt) et iam praeceptis sequentibus (cf. quae ad p. 64, 16 notata sunt) statim addidit quae p. 67, 6 sequentur: ἔχεις ἀμφοτέρων τῶν προφητῶν κτλ. 18. κολλᾶται v. p. (ae.) et edd., κοπιᾶται L.[2] 21. κενὰ' (cf. p. 65, 3) p. (vana) ae. (inania), καὶ L. et edd., om. totam sententiam v. 24. θεότητος v. p. (ae.) Hg.[1] Gh. F., θειότατον L.[2] ed. pr. Ti. | ἀπ' v. p. ae. Lipsius (Zeitschr. f. w. Th. 1866. p. 69. not. 2) Hg.[1] Gh. F., ἀντ' L.[2] Ti., μετ' ed. pr. 25. ἐπίγειον v. p. ae. Hg.[1] Gh. F., ἅγιον (praemisso compendio, in quo litteras μρ conspicuas esse retulit Ang.) L.[2], μωρὸν ed. pr. Ti. | ἀπὸ L.[2] ed pr. Ti. Gh. F., ὑπὸ M. Schmidt, Hg.[1]

ἀπ' αὐτοῦ, καὶ κωφοῦται ὁ ἄνθρωπος ἐκεῖνος καὶ ὅλως συνθραύεται μηδὲν δυνάμενος λαλῆσαι. [15] ἐὰν γὰρ εἰς ἀποθήκην στιβάσῃς οἶνον ἢ ἔλαιον καὶ ἐν αὐτοῖς θῇς κεράμιον κενὸν καὶ πάλιν ἀποστιβάσαι θελήσῃς τὴν ἀποθήκην, τὸ κεράμιον ἐκεῖνο, ὃ ἔθηκας κενόν, κενὸν καὶ εὑρήσεις. οὕτω καὶ οἱ προφῆται οἱ κενοὶ ὅταν ἔλθωσιν εἰς πνεύματα δικαίων, ὁποῖοι ἦλθον, τοιοῦτοι καὶ εὑρίσκονται. [16] ἔχεις ἀμφοτέρων τῶν προφητῶν τὴν ζωήν. δοκίμαζε οὖν ἀπὸ τῆς ζωῆς καὶ τῶν ἔργων τὸν ἄνθρωπον τὸν λέγοντα ἑαυτὸν πνευματοφόρον εἶναι. [17] σὺ δὲ πίστευε τῷ πνεύματι τῷ ἐρχομένῳ ἀπὸ τοῦ θεοῦ καὶ ἔχοντι δύναμιν· τῷ δὲ πνεύματι τῷ ἐπιγείῳ καὶ κενῷ μηδὲν πίστευε, ὅτι ἐν αὐτῷ δύναμις οὐκ ἔστιν· ἀπὸ τοῦ διαβόλου γὰρ ἔρχεται. [18] ἄκουσον οὖν τὴν παραβολήν, ἣν μέλλω σοι λέγειν. λάβε λίθον καὶ βάλε εἰς τὸν οὐρανόν, ἴδε εἰ δύνασαι ἅψασθαι αὐτοῦ· ἢ πάλιν λάβε σίφωνα ὕδατος καὶ σιφώνισον εἰς τὸν οὐρανόν, ἴδε εἰ δύνασαι τρυπῆσαι τὸν οὐρανόν.' [19] ,Πῶς', φημί, ,κύριε, ταῦτα γενέσθαι δύναται; ἀδύνατα γὰρ ἀμφότερα ταῦτα, ἃ εἴρηκας.' ,Ὡς ταῦτα οὖν', φησίν, ,ἀδύνατά ἐστιν, οὕτω καὶ τὰ πνεύματα τὰ ἐπίγεια ἀδύνατά ἐστι καὶ ἀδρανῆ. [20] λάβε νῦν τὴν δύναμιν τὴν ἄνωθεν ἐρχομένην. ἡ χάλαζα ἐλάχιστόν ἐστι κοκκάριον, καὶ ὅταν ἐπιπέσῃ ἐπὶ κεφαλὴν ἀνθρώπου, πῶς πόνον παρέχει. ἢ πάλιν λάβε τὴν σταγόνα, ἣ ἀπὸ τοῦ κεράμου πίπτει χαμαὶ καὶ τρυπᾷ τὸν λίθον. [21] βλέπεις οὖν ὅτι τὰ ἄνωθεν ἐλάχιστα πίπτοντα ἐπὶ τὴν γῆν μεγάλην δύναμιν ἔχουσιν· οὕτω καὶ τὸ πνεῦμα τὸ θεῖον ἄνωθεν ἐρχόμενον δυνατόν ἐστι. τούτῳ οὖν τῷ πνεύματι πίστευε, ἀπὸ δὲ τοῦ ἑτέρου ἀπέχου'.

Ἐντολὴ ιβ'.

I. Λέγει μοι ,Ἆρον ἀπὸ σεαυτοῦ πᾶσαν ἐπιθυμίαν πονηράν, [1] ἔνδυσαι δὲ τὴν ἐπιθυμίαν τὴν ἀγαθὴν καὶ σεμνήν· ἐνδεδυμένος γὰρ τὴν ἐπιθυμίαν ταύτην μισήσεις τὴν πονηρὰν ἐπιθυμίαν καὶ

Mand. XII, p. 67, 27—p. 69, 18. Pseudo-Athanasius ad Antiochum c. 10 p. 22 sq.: Ἄκουε καὶ τῆς δεκάτης ἐντολῆς· ἆρον ἀπὸ σοῦ πᾶσαν ἐπιθυμίαν πονηράν, ἔνδυσαι τὴν ἐπιθυμίαν τὴν ἀγαθὴν καὶ σεμνήν· ἐνδεδυμένος γὰρ τὴν

Mand. XI. 1. κωφοῦται v. (obmutescit) p. (et fit sine sensu) ed. pr. Hg.[1] Gh., κουφοῦται L.[2] Ti. 2. μηδὲν v. p. (ae.) Hb. Gh. F., μὴ L.[2] ed. pr. Ti. Hg.[1] 6. 7. ἔχεις ἀμφοτέρων τῶν προφητῶν τὴν ζωήν. post saepius turbatum ordinem vulg. iam ad rectam viam redit. 7. 8. ἀπὸ τῆς ζωῆς καὶ τῶν ἔργων v. p. Hb., ἀπὸ τῶν ἔργων καὶ τῆς ζωῆς L.[2] ae. ed. pr. Ti. Hg.[1] Gh. F. 12. ἄκουσον οὖν (vel ἄκουε οὖν) v. p. Hb. Gh. F., ἄκ. νῦν ae., ἄκουσον L.[2] ed. pr. Ti. Hg.[1] 16. δύναται v. p. ae. (ed. pr. Ti.) Hg.[1] Gh. F., om. L.[2] | ἃ v. Gh. F., om. L.[2] p. ed. pr. Ti. Hg.[1] 18. νῦν v. p. Hb. Gh. F., οὖν L.[2] ed. pr. Ti. Hg.[1] 21. ἀπὸ τοῦ κεράμου L.[2] v. (a tegula) et edd., de gulis (l. tegulis) p. | τρυπᾷ edd., τρύπα L.[2]

2 χαλιναγωγήσεις αὐτήν, καθὼς βούλει. ²ἀγρία γάρ ἐστιν ἡ ἐπιθυμία ἡ πονηρὰ καὶ δυσκόλως ἡμεροῦται· φοβερὰ γάρ ἐστι καὶ λίαν τῇ ἀγριότητι αὐτῆς δαπανᾷ τοὺς ἀνθρώπους· μάλιστα δὲ ἐὰν ἐμπέσῃ εἰς αὐτὴν δοῦλος θεοῦ καὶ μὴ ᾖ συνετός, δαπανᾶται ὑπ' αὐτῆς δεινῶς. δαπανᾷ δὲ τοὺς τοιούτους τοὺς μὴ ἔχοντας ἔνδυμα τῆς ἐπιθυμίας τῆς ἀγαθῆς, ἀλλὰ ἐμπεφυρμένους τῷ αἰῶνι τούτῳ. τού-
3 τους οὖν παραδίδωσιν εἰς θάνατον'. ³,Ποῖα', φημί, ,κύριε, ἐστὶν ἔργα τῆς ἐπιθυμίας τῆς πονηρᾶς τὰ παραδιδόντα τοὺς ἀνθρώπους εἰς θάνατον; γνώρισόν μοι, καὶ ἀφέξομαι ἀπ' αὐτῶν'. ,Ἄκουσον, ἐν ποίοις ἔργοις θανατοῖ ἡ ἐπιθυμία ἡ πονηρὰ τοὺς δούλους τοῦ
1 θεοῦ. II. πρῶτον πάντων ἐπιθυμία γυναικὸς ἀλλοτρίας ἢ ἀνδρὸς καὶ πολυτελείας πλούτου καὶ ἐδεσμάτων πολλῶν ματαίων καὶ μεθυσμάτων καὶ ἑτέρων τρυφῶν πολλῶν καὶ μωρῶν· πᾶσα γὰρ τρυφὴ
2 μωρά ἐστι καὶ κενὴ τοῖς δούλοις τοῦ θεοῦ. ²αὗται αὖν αἱ ἐπιθυμίαι πονηραί εἰσι, θανατοῦσαι τοὺς δούλους τοῦ θεοῦ. αὕτη γὰρ ἡ ἐπιθυμία ἡ πονηρὰ τοῦ διαβόλου θυγάτηρ ἐστίν. ἀπέχεσθαι δεῖ ἀπὸ τῶν ἐπιθυμιῶν τῶν πονηρῶν, ἵνα ἀποσχόμενοι ζήσητε τῷ

ἐπιθυμίαν ταύτην μισήσεις τὴν πονηρὰν ἐπιθυμίαν· ἀγρία γὰρ ἐπιθυμία εἰς τάδε (καὶ ἔνδυσαι τὴν ἀγαθὴν καὶ σεμνήν· ἀπὸ δὲ τῆς πονηρᾶς ἐπιθυμίας, καὶ μάλιστα A.)· ἐὰν ἐμπέσῃ εἰς λύπην ὁ δοῦλος τοῦ θεοῦ καὶ μὴ ᾖ συνετός, δαπανᾶται ὑπ' αὐτῆς δεινῶς. δαπανᾷ δὲ τούτους (δεινῶς, καὶ μάλιστα τοὺς A.) μὴ ἔχοντας ἔνδυμα ἐπιθυμίας ἀγαθῆς, ἀλλ' ἐμπεφυρμένους τῷ αἰῶνι τούτῳ. τούτους οὖν παραδίδωσιν εἰς θάνατον. καὶ λέγει ὁ Ἀντίοχος Ποῖα, κύριε (κύριε om. A.), εἰσὶ τῆς ἐπιθυμίας τῆς πονηρᾶς (τ. ἐπιθ. τ. π. om. A.) τὰ παραδιδοῦντα (l. παραδιδόντα) τοὺς ἀνθρώπους εἰς θάνατον; (καὶ add. A.) γνώρισόν μοι ἵνα φύγω ἀπ' αὐτῶν. λέγει αὐτῷ ὁ ἐπίσκοπος Ἄκουσον· πρῶτον (Ἄκουσον, ἐν ποίοις ἔργοις θανατοῖ ἡ ἐπιθυμία ἡ πονηρὰ τοὺς δούλους τοῦ θεοῦ· πρὸ A.) πάντων ἐπιθυμία γυναικὸς καὶ πολυτέλεια πλούτου, ἥ (ἥτις A.) ἐστι φιλαργυρία, καὶ ἐδεσμάτων πολλῶν καὶ ματαίων καὶ μεθύσματος πολλοῦ, διαφόρων γεύσεων (διαφόρου γεύσεως A.) καὶ ἑτέρων τρυφῶν πολλῶν καὶ μωρῶν (καὶ ἑτέρων — μωρῶν om. A.) καὶ δόξης ἀνθρωπίνης καὶ (καὶ om. A.) ματαίας. πᾶσα τρυφὴ μωρά ἐστι καὶ κενὴ τοῖς δούλοις τοῦ θεοῦ (μᾶλλον δὲ πᾶσα τρυφὴ καὶ ἡδονὴ τοῦ βίου τούτου ματαία ἐστίν. αὗται οὖν αἱ πονηρίαι καὶ αἱ ἐπιθυμίαι θανατοῦσιν τοὺς δούλους τοῦ θεοῦ A.). ἀπέχεσθαι οὖν δεῖ τῶν ἐπιθυμιῶν τούτων, ἵνα ἀπεχόμενοι ζήσητε (ἄπεχε οὖν ἀπ' αὐτῶν καὶ ζήσῃ A.) τῷ θεῷ· ἐὰν δὲ δουλεύσῃς τῇ ἐπιθυμίᾳ τῇ ἀγαθῇ καὶ ὑποταγῇς αὐτῇ (ἐὰν δουλεύσῃς τῷ θεῷ

p. 68, 15. 16. Athanasius, cf. Mand. IX, p. 59, 9. 10.

Mand. XII, I. 1. αὐτὴν Ant. v. Gh. F., αὐτὸν L.² p. ed. pr. Ti. Hg.¹ | βούλει (cf. p. 69, 13. 72, 6) Hg.¹ Gh. F., βούλῃ L.² ed. pr. Ti. 6. ἐμπεφυρμένους Ps.-Ath. Hg.¹ et edd., ἐκπεφυρμένους L.² (Ang. Gh.).
II. 11. πρῶτον πάντων v. p. ae. Ps.-Ath. (B.), πρὸ πάντων Ps.-Ath. (A.), πάντων προέχουσα L.² et edd. 11. πολυτελείας (cf. Mand. VI, 2 p. 50, 14) L.² v. ed. pr. Ti. Hg.¹ F., πολυτέλεια Ps.-Ath. ae. (p.) Gh. 12 sq. μέθυσμάτων L.² ae. et edd., μεθύσματος πολλοῦ Ps.-Ath. v. (ebrietatem multam), cf. p. 16. θυγάτηρ ed. pr. Hg.¹ Gh. F., θυγατέρα L.² Ti. 17. ζήσητε (super altero η notato ε) L.²

θεῷ. [3]ὅσοι δὲ ἂν κατακυριευθῶσιν ὑπ' αὐτῶν καὶ μὴ ἀντιστα- 3
θῶσιν αὐταῖς, ἀποθανοῦνται εἰς τέλος. θανατώδεις γάρ εἰσιν αἱ
ἐπιθυμίαι αὗται. [4]σὺ οὖν ἔνδυσαι τὴν ἐπιθυμίαν τῆς δικαιοσύνης 4
καὶ καθοπλισάμενος τὸν φόβον κυρίου ἀντίστηθι αὐταῖς. ὁ γὰρ
5 φόβος τοῦ θεοῦ κατοικεῖ ἐν τῇ ἐπιθυμίᾳ τῇ ἀγαθῇ. ἡ ἐπιθυμία ἡ
πονηρὰ ἐὰν ἴδῃ σε καθωπλισμένον τῷ φόβῳ τοῦ θεοῦ καὶ ἀνθε-
στηκότα αὐτῇ, φεύξεται ἀπὸ σοῦ μακράν, καὶ οὐκ ἔτι σοι ὀφθήσε-
ται φοβουμένη τὰ ὅπλα σου. [5]σὺ οὖν νῖκος λαβὼν καὶ στεφανω- 5
θεὶς κατ' αὐτῆς ἐλθὲ πρὸς τὴν ἐπιθυμίαν τῆς δικαιοσύνης καὶ
10 παραδοὺς αὐτῇ τὸ νῖκος ὃ ἔλαβες δούλευσον αὐτῇ, καθὼς αὐτὴ
βούλεται. ἐὰν δουλεύσῃς τῇ ἐπιθυμίᾳ τῇ ἀγαθῇ καὶ ὑποταγῇς αὐτῇ,
δυνήσῃ τῆς ἐπιθυμίας τῆς πονηρᾶς κατακυριεῦσαι καὶ ὑποτάξαι
αὐτήν, καθὼς βούλει'. III. ,Ἤθελον', φημί, ,κύριε, γνῶναι, ποίοις 1
τρόποις με δεῖ δουλεῦσαι τῇ ἐπιθυμίᾳ τῇ ἀγαθῇ'. ,Ἄκουε', φησίν·
15 ,ἐργάσῃ δικαιοσύνην καὶ ἀρετήν, ἀλήθειαν καὶ φόβον κυρίου, πίστιν
καὶ πραότητα καὶ ὅσα τούτοις ὅμοιά ἐστιν ἀγαθά. ταῦτα ἐργαζό-
μενος εὐάρεστος ἔσῃ δοῦλος τοῦ θεοῦ καὶ ζήσῃ αὐτῷ· καὶ πᾶς ὃς
ἂν δουλεύσῃ τῇ ἐπιθυμίᾳ τῇ ἀγαθῇ, ζήσεται τῷ θεῷ'.

ἐν δικαιοσύνῃ A.), δύνασαι κατακυριεῦσαι τῆς ἐπιθυμίας τῆς πονηρᾶς (τῆς πονηρᾶς ἐπιθυμίας A.) καὶ ὑποτάξαι αὐτήν, καθὼς βούλει (haec om. A.), ὁ Ἀντίοχος λέγει Ἤθελον (κἀγὼ add. A.) γνῶναι, ποίοις τρόποις δεῖ με δουλεῦσαι τῇ ἐπιθυμίᾳ τῇ ἀγαθῇ. ὁ ἐπίσκοπος λέγει Ἄκουε (Ἄκουε om. A.)· ἐργάσαι δικαιοσύνην καὶ ἀρετὴν ἀληθείας καὶ (καὶ om. A.) φόβον κυρίου καὶ πίστιν καὶ ἀγάπην καὶ ταπεινοφροσύνην καὶ ἀκτημοσύνην . . . . . ιθην ποιῆσαι τῆς κοσμικῆς . . . . ότητος (ματαιότητος?) καὶ ὅσα τούτοις ὅμοια τοῖς προειρημένοις. ταῦτα (ταπεινοφροσύνην καὶ ὑπομονὴν καὶ τὰ ὅμοια τούτοις καὶ τοῖς ἀγαθοῖς ἔργοις κολλήθητι. καὶ ταῦτα A.) ἐργαζόμενος εὐάρεστος ἔσῃ (καὶ add. A.) δοῦλος θεοῦ εἰς τοὺς αἰῶνας. ἀμήν (ἀμήν om. A.).

Antiochus Hom. LXXIV p. 1139: φησὶν γὰρ Ἆρον ἀπὸ σοῦ πᾶσαν ἐπιθυμίαν πονηράν, ἔνδυσαι δὲ ἐπιθυμίαν ἀγαθὴν καὶ σεμνήν· ἐνδεδυσκόμενος (l. ἐνδιδυσκόμενος) γὰρ τὴν ἐπιθυμίαν ταύτην μισήσεις τὴν πονηρὰν ἐπιθυμίαν καὶ χαλιναγωγήσεις αὐτήν, καθὼς βούλει. ἀγρία γάρ ἐστιν ἡ ἐπιθυμία ἡ πονηρὰ καὶ δυσκόλως ἡμεροῦται. φοβερωτέρα γάρ ἐστιν καὶ λίαν τῇ ἑαυτῆς ἀγριότητι δαπανᾷ τοὺς ἀνθρώπους. ἐν δὲ τῷ λέγειν Ἀγρία ἐστὶν ἡ ἐπιθυμία ἡ πονηρά, σημαίνει ὅτι ἑαυτὴν ἀναφύει ὡς ἀγρία βοτάνη εἰς ἀγεώργητον χωρίον, ἢ ὡς ἄγριον ζῶον ἐν ἑαυτῷ νεμόμενον ἄνευ λογικῆς ἐπιστάσεως. τίς δὲ καὶ ποταπή ἐστιν οὐ μόνον ἡ πονηρία (πονηρά coni. Fabricius), ἀλλὰ καὶ ἀγαθὴ ἐπιθυμία, ἐν τῷ καθεξῆς διαλόγῳ ἀκριβῶς ἐκτίθεται.

Mand. XII, II. 8 sq. νῖκος λαβὼν καὶ στεφανωθεὶς v. (et accipies victoriam et coronaberis) p. (accepta victoria et coronatus) ae. (simulac ceperis coronam victoriae) Hb. F., στεφανωθεὶς L.[2] ed. pr. Ti. Hg.[1] Gh. (excidisse νικήσας καὶ vel simile aliquid concedens). 10. παραδοὺς L.[2] v. ae. et edd., εὖ παραδοὺς Hb. propter p. (ubi ,bene' del. Gh.). 13. βούλει (cf. p. 68, 1) Ps.-Ath. Hg.[1] Gh. F., βούλῃ L.[2] ed. pr. Ti.

III. p. 69, 13—V, p. 72, 17. Ἤθελον, φημί — γεμίσῃ οἴνου καλοῦ desunt in p. | φημί edd., φησί L.[2]

2 ²Συνετέλεσεν οὖν τὰς ἐντολὰς τὰς δώδεκα καὶ λέγει μοι ,Ἔχεις τὰς ἐντολὰς ταύτας· πορεύου ἐν αὐταῖς καὶ τοὺς ἀκούοντας παρακάλει, ἵνα ἡ μετάνοια αὐτῶν καθαρὰ γένηται τὰς λοιπὰς
3 ἡμέρας τῆς ζωῆς αὐτῶν. ³τὴν διακονίαν ταύτην, ἥν σοι δίδωμι, τέλει ἐπιμελῶς καὶ πολὺ ἐργάσῃ· εὑρήσεις γὰρ χάριν ἐν τοῖς μέλλουσι μετανοεῖν, καὶ πεισθήσονταί σου τοῖς ῥήμασιν· ἐγὼ γὰρ
4 μετὰ σοῦ ἔσομαι καὶ ἀναγκάσω αὐτοὺς πεισθῆναί σοι'. ⁴λέγω αὐτῷ ,Κύριε, αἱ ἐντολαὶ αὗται μεγάλαι καὶ καλαὶ καὶ ἔνδοξοί εἰσι καὶ δυνάμεναι εὐφρᾶναι καρδίαν ἀνθρώπου τοῦ δυναμένου τηρῆσαι αὐτάς. οὐκ οἶδα δέ, εἰ δύνανται αἱ ἐντολαὶ αὗται ὑπὸ ἀνθρώπου
5 φυλαχθῆναι, διότι σκληραί εἰσι λίαν'. ⁵ἀποκριθεὶς λέγει μοι ,Ἐὰν σὺ σεαυτῷ προθῇς ὅτι δύνανται φυλαχθῆναι, εὐκόπως αὐτὰς φυλάξεις, καὶ οὐκ ἔσονται σκληραί· ἐὰν δὲ ἐπὶ τὴν καρδίαν σου ἤδη ἀναβῇ μὴ δύνασθαι αὐτὰς ὑπὸ ἀνθρώπου φυλαχθῆναι, οὐ φυλάξεις
6 αὐτάς. ⁶νῦν δέ σοι λέγω· ἐὰν ταύτας μὴ φυλάξῃς, ἀλλὰ παρενθυμηθῇς, οὐχ ἕξεις σωτηρίαν, οὔτε τὰ τέκνα σου, οὔτε ὁ οἶκός σου, ἐπεὶ ἤδη σεαυτῷ κέκρικας τοῦ μὴ δύνασθαι τὰς ἐντολὰς
1 ταύτας ὑπὸ ἀνθρώπου φυλαχθῆναι'. IV. καὶ ταῦτά μοι λίαν ὀργίλως ἐλάλησεν, ὥστε με συγχυθῆναι καὶ λίαν αὐτὸν φοβηθῆναι. ἡ μορφὴ γὰρ αὐτοῦ ἠλλοιώθη, ὥστε μὴ δύνασθαι ἄνθρωπον ὑπε-
2 νεγκεῖν τὴν ὀργὴν αὐτοῦ. ²ἰδὼν δέ με τεταραγμένον ὅλον καὶ

Mand. XII, III, p. 70, 1—3. Pseudo-Athanasius ad Antiochum c. 13 p. 27: καὶ συντελέσας τὰς δώδεκα ταύτας ἐντολὰς ὁ ἐπίσκοπος λέγει αὐτῷ Πορεύου ἐν ταῖς ἐντολαῖς ταύταις καὶ παρακάλει καὶ τοὺς ἀκούοντας πορεύεσθαι ἐν αὐταῖς, ἵνα ἡ μετάνοια αὐτῶν καθαρὰ γένηται τὰς λοιπὰς ἡμέρας τῆς ζωῆς αὐτῶν.

III, p. 70, 7—p. 71, 8. Pseudo-Athanasius ad Antiochum c. 21 p. 37: λέγει αὐτῷ Κύριε, αἱ ἐντολαὶ αὗται μεγάλαι καὶ καλαὶ καὶ δυναταί εἰσι, δυνάμενα εὐφρᾶναι τὴν καρδίαν τοῦ δυναμένου τηρῆσαι αὐτάς. οὐκ οἶδα, κύριε, εἰ δύνανται αἱ ἐντολαὶ αὗται ὑπὸ πολλῶν φυλαχθῆναι, διότι σκληραί εἰσιν. ἐμβλέψας

Mand. XII, III. 3. ἵνα ἡ μετάνοια αὐτῶν καθαρὰ γένηται L.² et edd., ut poenitentiam agant, et poenitentia eorum munda fiat v., ἵνα μετανοήσωσι, καὶ ἡ μετάνοια αὐτῶν καθαρὰ γένηται Hb., πορεύεσθαι ἐν αὐταῖς Ps.-Ath. 6. πεισθῆναί σοι. sequentibus L.² inscripsit αρχή, ae. add.: finita sunt mandata XII. initium similitudinum. similitudo prima. 9. δυνάμεναι Ps.-Ath. v. ae. Ti. Hg.¹ Gh. F., δύναμαι L.², δύνανται ed. pr. 9. 10. τηρῆσαι αὐτάς (cf. Mand. XII, 6, 3. Sim. V, 3, 3. VI, 1, 4) Ps-Ath. v. ae. Gh. F., ποιῆσαι ταύτας L.² ed. pr. Ti., ποιῆσαι αὐτάς Hg.¹ 12. προθῇς Ps.-Ath. (προθῇ) ae. Hg.¹ Gh. F., προσθῇς L.² ed. pr. Ti. 14. ἀναβῇ Ps.-Ath. ed. pr. Hg.¹ Gh. F., ἀνέβη L.² Ti.
IV. 21. τὴν ὀργὴν αὐτοῦ v. ae. Hg.¹ Gh. F., codici L.² aliquid deesse temere asseruit Tischendorf. nam e contrario addita sunt: σὺ κ̄ (κύριε) συνέκλεισας φῶς καὶ ἐχώρησας τὸ σκότος ἀπ' ἀλλήλων, ἐθεμελίωσας τὴν γῆν καὶ ἔκτισας καρποὺς παντοδαπούς, ἥλιον, σελήνην, ἀστέρων ἐναρμόνιον κίνησιν, ζῷα πτερωτά, τετράποδα, ἑρπετά, ἔνυδρα, ἄγριά τε καὶ τὰ τούτοις παραπλησιάζοντα, καὶ τούτων ἁπάντων ἔκτισε δεσπότην τὸν ἄνθρωπον, quae ed. pr. et Ti. non addubitaverunt.

συγκεχυμένον ἤρξατό μοι ἐπιεικέστερον καὶ ἱλαρώτερον λαλεῖν. καὶ λέγει ,Ἄφρον, ἀσύνετε καὶ δίψυχε, οὐ νοεῖς τὴν δόξαν τοῦ θεοῦ, πῶς μεγάλη ἐστὶ καὶ ἰσχυρὰ καὶ θαυμαστή, ὅτι ἔκτισε τὸν κόσμον ἕνεκα τοῦ ἀνθρώπου καὶ πᾶσαν τὴν κτίσιν αὐτοῦ ὑπέταξε
5 τῷ ἀνθρώπῳ καὶ τὴν ἐξουσίαν πᾶσαν ἔδωκεν αὐτῷ τοῦ κατακυριεύειν τῶν ὑπὸ τὸν οὐρανὸν πάντων; [3]εἰ οὖν', φησίν, ,ὁ ἄνθρωπος κύριός ἐστι τῶν κτισμάτων τοῦ θεοῦ καὶ πάντων κατακυριεύει, οὐ δύναται καὶ τούτων τῶν ἐντολῶν κατακυριεῦσαι; δύναται', φησί, ,(πάντων καὶ) πασῶν τῶν ἐντολῶν τούτων κατακυριεῦσαι
10 ὁ ἄνθρωπος ὁ ἔχων τὸν κύριον ἐν τῇ καρδίᾳ αὐτοῦ. [4]οἱ δὲ ἐπὶ τοῖς χείλεσιν ἔχοντες τὸν κύριον, τὴν δὲ καρδίαν αὐτῶν πεπωρωμένην, καὶ μακρὰν ὄντες ἀπὸ τοῦ κυρίου, ἐκείνοις αἱ ἐντολαὶ αὗται σκληραί εἰσι καὶ δύσβατοι. [5]θέσθε οὖν ὑμεῖς, οἱ κενοὶ καὶ ἐλαφροὶ ὄντες ἐν τῇ πίστει, τὸν κύριον ὑμῶν εἰς τὴν καρδίαν, καὶ
15 γνώσεσθε ὅτι οὐδέν ἐστιν εὐκοπώτερον τῶν ἐντολῶν τούτων οὔτε γλυκύτερον οὔτε ἡμερώτερον. [6]ἐπιστράφητε ὑμεῖς οἱ ταῖς ἐντολαῖς πορευόμενοι τοῦ διαβόλου, ταῖς δυσκόλοις καὶ πικραῖς καὶ ἀγρίαις

δὲ αὐτὸν ὁ δοῦλος τοῦ θεοῦ μετὰ πολλῆς αὐστηρίας εἶπεν Ἄνανδρε, ἀκηδιαστά, ῥᾴθυμε καὶ ὀλιγόψυχε, οὐκ οἶδας ὅτι ἐὰν σὺ ἑαυτῷ προθῇ (l. προθῇς) ὅτι δύνανται φυλαχθῆναι, εὐκόλως αὐτὰς φυλάξεις, καὶ οὐκ ἔσονται σκληραί; εἰ δὲ ἀναβῇ ἐπὶ τὴν καρδίαν σου μὴ δύνασθαι αὐτὰς ὑπὸ ἀνθρώπου φυλαχθῆναι, οὐ φυλάξεις αὐτάς. οὐ νοεῖς τὴν δόξαν τοῦ θεοῦ πῶς μεγάλη ἐστὶ καὶ ἰσχυρὰ καὶ θαυμαστή, ὅτι ἔκτισεν τὸν κόσμον διὰ τὸν ἄνθρωπον καὶ τὴν ἐξουσίαν ἅπασαν ἔδωκεν αὐτῷ κυριεύειν πάντων τῶν ἐπὶ τῆς γῆς; εἰ οὖν πάντων τούτων ὁ ἄνθρωπος κύριός ἐστιν καὶ πάντων δύναται κατακυριεῦσαι, πῶς οὐ δυνήσεται καὶ τούτων τῶν ἐντολῶν κατακυριεῦσαι;

Mand. XII, IX, p. 71, 8—16. Pseudo-Athanasius ad Antiochum c. 21 p. 38 sq.: δύναται πασῶν τῶν ἐντολῶν τούτων κατακυριεῦσαι ὁ ἄνθρωπος ὁ ἔχων τὸν κύριον ἐν τῇ καρδίᾳ αὐτοῦ. οἱ δὲ ἐπὶ τὰ χείλη ἔχοντες τὸν κύριον, τὴν δὲ καρδίαν πεπωρωμένην παὶ μακρὰν ὄντες ἀπὸ τοῦ κυρίου διὰ τὴν ἑαυτῶν ῥαθυμίαν, ἐκείνοις αἱ ἐντολαὶ αὗται σκληραί εἰσιν καὶ δυσκατόρθωτοι. θέσθε οὖν ὑμεῖς οἱ ὀλιγόψυψοι καὶ ἐλαφροὶ τῇ πίστει τὸν κύριον ἀδιαλείπτως εἰς τὰς καρδίας ὑμῶν, καὶ γνώσεσθε ὅτι οὐδέν ἐστιν εὐκολώτερον τῶν ἐντολῶν τούτων, οὔτε γλυκύτερον, οὔτε ἡμερώτερον.

Mand. XII, IV. 1. καὶ ἱλαρώτερον v. ae. Gh. (coniectura) F., om. L.[2] ed. pr. Ti. Hg.[1] Gh. (in textu). 2. Ἄφρον ed. pr. Hg.[1] Gh. F., ἄφρων (super ω posito o) L.[2] Ti. | δίψυχε ed. pr. Hg.[1] Gh. F., δίψυχος (super ος notato ε) L.[2] Ti. 9. πάντων καὶ L.[2] et edd., om. v. Ps.-Ath. mihi delenda esse videntur. | φησί L.[2] v. et edd., φημί ae. 10. ὁ ἔχων Ps.-Ath. v. ae. Hg.[1] Gh. F., ἔχων L.[2] ed. pr. Ti. 11. 12. πεπωρωμένην L.[2] ae. Ps.-Ath. et edd., obcaecatum v. ae. 12. κυρίου Ps.-Ath. v. ae. Hg.[1] Gh. F., θεοῦ L.[2] ed. pr. Ti. 13. δύσβατοι L.[2] (Ti. Gh., non δύστατοι) Ti. Hg.[1] Gh. F., difficilia (δύσκολοι? Gh.) v. ae., δυσαχθεῖς ed. pr. 16. ταῖς L.[2] Hg.[1] Gh. F., ἐν ταῖς ed. pr. Ti. 17. δυσκόλοις Simonides et edd., δυσκολίαις L.[2] | ἀγρίαις (cf. c. I. p. 68, 1) Hg.[1] Gh. F., ἀγρικίαις L.[2], ἀγρικοῖς ed. pr. Ti., immundae (ἀκάθαρτοι?) v.

ἀσελγείαις, καὶ μὴ φοβήθητε τὸν διάβολον, ὅτι ἐν αὐτῷ δύναμις
7 οὐκ ἔστιν καθ' ὑμῶν· [7]ἐγὼ γὰρ ἔσομαι μεθ' ὑμῶν, ὁ ἄγγελος τῆς μετανοίας [ὁ κ]ατακυριεύων αὐτοῦ. ὁ διάβολος μόνον φόβον ἔχει, ὁ δὲ φόβος αὐτοῦ τόνον οὐκ ἔχει· μὴ φοβήθητε οὖν αὐτόν, καὶ
1 φεύξεται ἀφ' ὑμῶν'. V. λέγω αὐτῷ ,Κύριε, [ἄκ]ουσόν μου ὀλίγων ῥημάτων'. ,Λέγε', φησίν, ,ὃ βούλει'. ',Ο μὲν ἄνθρωπος', φημί, ,κύριε, πρόθυμός ἐστι τὰς ἐντολὰς τοῦ θεοῦ φυλάσσειν, καὶ οὐδείς ἐστιν ὁ μὴ αἰτούμενος παρὰ τοῦ κ[υρίου, ἵν]α ἐνδυναμωθῇ ἐν ταῖς ἐντολαῖς αὐτοῦ καὶ ὑποταγῇ αὐταῖς· ἀλλ' ὁ διάβολος σκλη-
2 ρός ἐστι καὶ καταδυναστεύει αὐτῶν'. [2],Οὐ δύναται', φησί, ,καταδυναστεύειν τῶν δούλων τοῦ θεοῦ τῶν ἐξ ὅλης καρδίας ἐλπιζόντων ἐπ' αὐτόν. δύναται ὁ διάβολος ἀντιπαλαῖσαι, καταπαλαῖσαι δὲ οὐ
Iac. IV, 7. δύναται. ἐὰν οὖν ἀντισταθῆτε αὐτῷ, νικηθεὶς φεύξεται ἀφ' ὑμῶν κατῃσχυμμένος. ὅσοι δέ', φησίν, ,ἀπόκενοί εἰσι, φοβοῦνται τὸν διάβολον ὡς δύναμιν ἔχοντα. ὁ γὰρ διάβολος ἐκπειράζει τοὺς
3 δούλους τοῦ θεοῦ, καὶ ἐὰν εὕρῃ ἀποκένους, καταφθείρει. [3]ὅταν ὁ ἄνθρωπος κεράμια ἱκανώτατα γεμίσῃ οἴνου καλοῦ, καὶ ἐν τοῖς κεραμίοις ἐκείνοις ὀλίγα ἀπόκενα ᾖ, ἔρχεται ἐπὶ τὰ κεράμια καὶ οὐ κατανοεῖ τὰ πλήρη — οἶδε γὰρ ὅτι πλήρη εἰσί —, κατανοεῖ δὲ τὰ ἀπόκενα, φοβούμενος μήποτε ὤξισαν· ταχὺ γὰρ τὰ ἀπόκενα
4 κεράμια ὀξίζουσι, καὶ ἀπόλλυται ἡ ἡδονὴ τοῦ οἴνου. [4]οὕτω καὶ ὁ διάβολος ἔρχεται ἐπὶ πάντας τοὺς δούλους τοῦ θεοῦ ἐκπειράζων αὐτούς. ὅσοι οὖν πλήρεις εἰσὶν ἐν τῇ πίστει, ἀνθεστήκασιν αὐτῷ

Mand. XII, IV, p. 72, 1—p. 73, 16. Pseudo-Athanasius ad Antiochum c. 12 p. 25 sq.: βλέπε στερεῶς καὶ ἐξ ὅλης τῆς καρδίας σου ἐπίστρεφε πρὸς κύριον καὶ μὴ φοβηθῇς τὸν διάβολον· δύναμις γὰρ ἐν αὐτῷ οὐκ ἔστιν κατὰ τῶν δούλων τοῦ θεοῦ· ὁ θεὸς γάρ ἐστιν ὁ παρέχων τὴν νίκην. ὁ διάβολος μόνον φόβον ἔχει, ὁ δὲ φόβος αὐτοῦ τόνους οὐκ ἔχει. μὴ φοβηθῇς οὖν αὐτόν, καὶ φεύξεται ἀπὸ σοῦ, μηδὲ τὴν ἀπειλὴν αὐτοῦ δειλιάσῃς· ἄτονος γὰρ ὡς νεκροῦ νεῦρα. οὐ δύναται γὰρ καταδυναστεύειν τῶν δούλων τοῦ θεοῦ τῶν ἐξ ὅλης καρδίας ἐλπιζόντων ἐπ' αὐτόν. δύναται οὖν ὁ διάβολος παλαῖσαι, καταπαλαῖσαι δὲ οὐ δύναται. ἐὰν οὖν ἀντιστῇς αὐτόν (l. αὐτῷ), νικηθεὶς φεύξεται ἀπὸ σοῦ κατῃσχυμμένος. μᾶλλον φοβήθητι τὸν κύριον τὸν δυνάμενον σῶσαι καὶ ἀπολέσαι.

Mand. XII, V. p. 72, 16—21. Origenes ad Matth. XXIV, 42 (Opp. III, 877): nam sicut legimus apud Pastorem, vasa plena non cito quis gustat, nec enim mutantur facile, semiplena autem, quia facile creduntur mutari, frequenter gustantur.

Mand. XII, IV. 1. ἀσελγείαις L.[2] et edd., om. v. fort. delendum. 3. ἔσομαι μεθ' ὑμῶν. hic incipit cod. L. ipse. 4. μὴ L. v. ae. et edd., addubitaverunt ed. pr. Ti. (add. ἐνδυναμ.?).
V. 8. ἐνδυναμωθῇ v. ae. Hg.[1] Gh. F., μὴ δυναμωθῇ L.[2], (μὴ) δυναμωθῇ ed. pr. Ti. 15. 16. ὁ γὰρ διάβολος — καταφθείρει v. (diabolus enim tentat servos dei, et si invenerit vacuos, exterminat), om. L. ae. et edd. haec vix deesse possunt (cf. l. 21 sq.). 16. καταφθείρει v. etiam Mand. X, 1. p. 60. 15 reddidit: exterminat. | ὅταν L. et edd., sicut enim v., et si ae. 19. πλήρη εἰσίν edd., πλήρεις (compendio) εἰσίν L.

ἰσχυρῶς, κἀκεῖνος ἀποχωρεῖ ἀπ' αὐτῶν μὴ ἔχων τόπον ποῦ εἰσέλθῃ. ἔρχεται οὖν τότε πρὸς τοὺς ἀποκένους καὶ ἔχων τόπον εἰσπορεύεται εἰς αὐτοὺς καὶ ὃ δὴ βούλεται αὐτοῖς ἐργάζεται, καὶ γίνονται αὐτῷ ὑπόδουλοι. VI. ἐγὼ δὲ ὑμῖν λέγω, ὁ ἄγγελος τῆς μετανοίας· 1
5 μὴ φοβήθητε τὸν διάβολον. ἀπεστάλην γάρ', φησί, ,μεθ' ὑμῶν εἶναι τῶν μετανοούντων ἐξ ὅλης καρδίας αὐτῶν καὶ ἰσχυροποιῆσαι αὐτοὺς ἐν τῇ πίστει. [2]πιστεύσατε οὖν τῷ θεῷ ὑμεῖς οἱ διὰ τὰς 2
ἁμαρτίας ὑμῶν ἀπεγνωκότες τὴν ζωὴν ὑμῶν καὶ προστιθέντες ἁμαρτίαις καὶ καταβαρύνοντες τὴν ζωὴν ὑμῶν, ὅτι ἐὰν ἐπιστρα-
10 φῆτε πρὸς τὸν κύριον ἐξ ὅλης τῆς καρδίας ὑμῶν καὶ ἐργάσησθε τὴν δικαιοσύνην τὰς λοιπὰς ἡμέρας τῆς ζωῆς ὑμῶν καὶ δουλεύσητε αὐτῷ κατὰ τὸ θέλημα αὐτοῦ, ποιήσει ἴασιν τοῖς προτέροις ὑμῶν ἁμαρτήμασι, καὶ ἕξετε δύναμιν τοῦ κατακυριεῦσαι τῶν ἔργων τοῦ διαβόλου. τὴν δὲ ἀπειλὴν τοῦ διαβόλου ὅλως μὴ φοβήθητε· ἄτο-
15 νος γάρ ἐστιν ὥσπερ νεκροῦ νεῦρα. [3]ἀκούσατέ οὖν μου καὶ φο- 3
βήθητε τὸν πάντα δυνάμενον, σῶσαι καὶ ἀπολέσαι, καὶ τηρεῖτε τὰς Iac. IV, 12.
ἐντολὰς ταύτας καὶ ζήσεσθε τῷ θεῷ'. [4]λέγω αὐτῷ ,Κύριε, νῦν 4
ἐνεδυναμώθην ἐν πᾶσι τοῖς δικαιώμασι τοῦ κυρίου, ὅτι σὺ μετ' ἐμοῦ εἶ, καὶ οἶδα ὅτι συγκόψεις τὴν δύναμιν τοῦ διαβόλου πᾶσαν,
20 καὶ ἡμεῖς αὐτοῦ κατακυριεύσομεν καὶ κατισχύσομεν πάντων τῶν ἔργων αὐτοῦ. καὶ ἐλπίζω, κύριε, δύνασθαί με τὰς ἐντολὰς ταύτας, ἃς ἐντέταλσαι, τοῦ κυρίου ἐνδυναμοῦντος φυλάξαι'. [5],Φυλάξεις', 5
φησίν, ,ἐὰν ἡ καρδία σου καθαρὰ γένηται πρὸς κύριον· καὶ πάντες δὲ φυλάξουσιν, ὅσοι ἂν καθαρίσωσιν ἑαυτῶν τὰς καρδίας ἀπὸ
25 τῶν ματαίων ἐπιθυμιῶν τοῦ αἰῶνος τούτου, καὶ ζήσονται τῷ θεῷ'.

Mand. XII, VI, p. 73, 7—17. πιστεύσατε οὖν —ζήσονται τῷ θεῷ. Antiochus Hom. LXXVII, p. 1147: πιστεύσωμεν οὖν τῷ θεῷ, οἱ διὰ τὰς ἁμαρτίας ἡμῶν ἀπεγνωκότες τῆς ζωῆς ἡμῶν, καὶ ἐπιστρέψωμεν πρὸς κύριον τὸν θεὸν ἡμῶν ἐξ ὅλης τῆς καρδίας ἡμῶν καὶ ἐργασώμεθα τὴν δικαιοσύνην τὰς λοιπὰς ἡμέρας τῆς ζωῆς ἡμῶν καὶ δουλεύσωμεν αὐτῷ ὀρθῶς κατὰ τὸ θέλημα αὐτοῦ, καὶ ποιήσει ἴασιν τοῖς προτέροις ἡμῶν παραπτώμασι. καὶ ἔχομεν δύναμιν τοῦ κατακυριεῦσαι τῶν ἔργων τοῦ διαβόλου. τὴν δὲ ἀπειλὴν αὐτοῦ ὅλως μὴ φοβήθωμεν. ἄτονος γάρ ἐστιν ὥσπερ νεκροῦ νεῦρα. ἀλλὰ φοβήθωμεν τὸν παντοδύναμον κύριον καὶ τὰς ἐντολὰς αὐτοῦ φυλάξωμεν καὶ ζήσωμεν ἐν αὐτῷ.

Mand. XII, V. 1 sq. εἰσέλθῃ in L. correctum esse videtur ex εἰσέλθοι. 3. δὴ emendavi, δὲ L. ed. pr. Ti. Gh. F., om. Hg.[1] | αὐτοῖς v. p. ae., ἐν αὐτοῖς L. et edd.
VI. 9. ἁμαρτίαις v. p. ae. ed. pr. Gh. F., ἁμαρτίας L. Ti. Hg.[1] 12. αὐτῷ L. v. ed. pr. Ti. Hg.[1], αὐτῷ ὀρθῶς Ant. p. Gh. F. 20. 21. τῶν ἔργων L. p. ae., πάντων τῶν ἔργων v. Hb. 21. με (v.) p. (ed. pr. Ti.) Hg.[1] Gh. F., μὲν L.

ΠΑΡΑΒΟΛΑΙ ΑΣ ΕΛΑΛΗΣΕ ΜΕΤ ΕΜΟΥ.

Παραβολὴ ά.

1 Λέγει μοι ,Οἴδατε, ὅτι ἐπὶ ξένης κατοικεῖτε ὑμεῖς οἱ δοῦλοι τοῦ θεοῦ· ἡ γὰρ πόλις ὑμῶν μακράν ἐστιν ἀπὸ τῆς πόλεως ταύτης· εἰ οὖν οἴδατε', φησί, ,τὴν πόλιν ὑμῶν, ἐν ᾗ μέλλετε κατοικεῖν, τί ὧδε ὑμεῖς ἑτοιμάζετε ἀγροὺς καὶ παρατάξεις πολυτελεῖς καὶ 2 οἰκοδομὰς καὶ οἰκήματα μάταια; [2]ταῦτα οὖν ὁ ἑτοιμάζων εἰς ταύτην τὴν πόλιν οὐ διανοεῖται ἐπανακάμψαι εἰς τὴν ἰδίαν πόλιν. 3 [3]ἄφρον καὶ δίψυχε καὶ ταλαίπωρε ἄνθρωπε, οὐ νοεῖς ὅτι ταῦτα πάντα ἀλλότριά εἰσὶ καὶ ὑπ' ἐξουσίαν ἑτέρου εἰσίν; ἐρεῖ γὰρ ὁ κύριος τῆς πόλεως ταύτης Οὐ θέλω σε κατοικεῖν εἰς τὴν πόλιν μου, ἀλλ' ἔξελθε ἐκ τῆς πόλεως ταύτης, ὅτι τοῖς νόμοις μου οὐ 4 χρᾶσαι. [4]σὺ οὖν ἔχων ἀγροὺς καὶ οἰκήσεις καὶ ἑτέρας παρατάξεις πολλάς, ἐκβαλλόμενος ὑπ' αὐτοῦ τί ποιήσεις σου τὸν ἀγρὸν καὶ τὴν οἰκίαν καὶ τὰ λοιπὰ ὅσα ἡτοίμασας σεαυτῷ; λέγει γάρ σοι δικαίως ὁ κύριος τῆς χώρας ταύτης Ἢ τοῖς νόμοις μου χρῶ ἢ 5 ἐκχώρει ἐκ τῆς χώρας μου. [5]σὺ οὖν τί μέλλεις ποιεῖν ἔχων νόμον ἐν τῇ σῇ πόλει; ἕνεκεν τῶν ἀγρῶν σου καὶ τῆς λοιπῆς ὑπάρξεως τὸν νόμον σου πάντως ἀπαρνήσῃ καὶ πορεύσῃ τῷ νόμῳ τῆς

Sim. I p. 74, 3—p. 75, 20. Antiochus Hom. XV. p. 1048: εἰ οὖν ἐπὶ ξένης κατοικοῦμεν, καὶ ἡ πόλις ἡμῶν μακρὰν ἀπέχει ἀπὸ τῆς πόλεως ταύτης, καὶ οἴδαμεν τὴν πόλιν ἡμῶν, ἐν ᾗ μέλλομεν κατοικεῖν· τί εἰς τὴν ἀλλοτρίαν ἑτοιμάζομεν ἀγροὺς καὶ οἰκοδομὰς καὶ οἰκήματα μάταια καὶ παρατάξεις πολυτελεῖς; ταῦτα οὖν ὁ ἑτοιμάζων εἰς ἀλλοτρίαν πόλιν δῆλός ἐστιν ὅτι οὐ προσδοκᾷ ἐπακακάμψαι εἰς τὴν ἰδίαν πόλιν, τουτέστιν εἰς τὴν ἄνω Ἱερουσαλήμ· ὁ γὰρ λογισμὸς οὗτος ἀφρόνων καὶ διψύχων καὶ ταλαιπώρων ἀνθρώπων ἐστίν. οὐ γὰρ συνίει ὅτι ταῦτα πάντα ἀλλότριά εἰσι καὶ ὑπὸ ἐξουσίας (l. ἐξουσίαν) ἑτέρου

Sim. inscr. 1. παραβολαὶ ἃς ἐλάλησε μετ' ἐμοῦ L. Ti. Hg.[1] Gh. F., incipiunt similitudines, quas locutus est mecum v. (Gh.), incipiunt similitudines decem, quas locutus est mecum p., om. ae. (cf. notata ad Mand. XII, 3, p. 70, 6). 2. παραβολὴ ά v. p. ed. pr. Hg.[1] F., om. L. ae. Ti. Gh. 3. οἴδατε v. p. ae., οἴδατε, φησίν L. et edd. 4. ἡ Ant. v. p. ae. et edd., οἱ L. 6. 7. ἑτοιμάζετε — μάταια L. (cf. Ant.) et edd., emitis agros et apparatis lautitias et aedificia et habitationes supervacuas v., emitis agros et praeperatis aedif. et habitat. supervacuas p., mansionem vestram facitis et vineta multiplicatis, habitationes inutiles aedificatis ae. 8. διανοεῖται em. Hb. Lipsius (Jen. L.-Z. 1878, 2), δύναται L. ed. pr. Ti. Hg.[1], cogitat v. p., vult ae., προσδοκᾷ Ant. Gh. F. 10. ἀλλότριά εἰσιν Ant. Hg.[1], ἀλλ. ἐστι L. ed. pr. Ti. Gh. F. 13. χρᾶσαι (cf. Vis. III, 6 p. 20, 21) L. et edd., pares ae. | παρατάξεις (cf. l. 6) Hb. F., apparatus v. p., possessiones ae. (emendatus), πράξεις L. ed. pr. Ti. Hg.[1], ὑπάρξεις (cf. l. 18) Gh. 14. ἐκβαλλόμενος edd., ἐκβαλόμενος L. 18. post πόλει interrogationis signum posuerunt Gh. F., post ὑπάρξεως ed. pr. Ti Hg.[1] 19. τὸν νόμον in L. iam prima manu correctum e τῷ νόμῳ.

πόλεως ταύτης. βλέπε, μή σοι ἀσύμφορόν ἐστιν ἀπαρνῆσαι τὸν νόμον σου· ἐὰν γὰρ ἐπανακάμψαι θελήσῃς εἰς τὴν πόλιν σου, οὐ μὴ παραδεχθήσῃ, ὅτι ἀπηρνήσω τὸν νόμον τῆς πόλεώς σου καὶ ἐκκλεισθήσῃ ἀπ' αὐτῆς. [6] βλέπε οὖν σύ· ὡς ἐπὶ ξένης κατοικῶν μηδὲν πλέον ἑτοίμαζε σεαυτῷ εἰ μὴ τὴν αὐτάρκειαν τὴν ἀρκετήν σοι καὶ ἕτοιμος γίνου, ἵνα, ὅταν θέλῃ ὁ δεσπότης τῆς πόλεως ταύτης ἐκβαλεῖν σε ἀντιταξάμενον τῷ νόμῳ αὐτοῦ, ἐξέλθῃς ἐκ τῆς πόλεως αὐτοῦ καὶ ἀπέλθῃς ἐν τῇ πόλει σου καὶ τῷ σῷ νόμῳ χρήσῃ ἀνυβρίστως ἀγαλλιώμενος. [7] βλέπετε οὖν ὑμεῖς οἱ δουλεύοντες τῷ κυρίῳ καὶ ἔχοντες αὐτὸν εἰς τὴν καρδίαν· ἐργάζεσθε τὰ ἔργα τοῦ θεοῦ μνημονεύοντες τῶν ἐντολῶν αὐτοῦ καὶ τῶν ἐπαγγελιῶν ὧν ἐπηγγείλατο καὶ πιστεύσατε αὐτῷ ὅτι ποιήσει αὐτάς, ἐὰν αἱ ἐντολαὶ αὐτοῦ φυλαχθῶσιν. [8] ἀντὶ ἀγρῶν οὖν ἀγοράζετε ψυχὰς θλιβομένας, καθά τις δυνατός ἐστι, καὶ χήρας καὶ ὀρφανοὺς ἐπισκέπτεσθε καὶ μὴ παραβλέπετε αὐτούς· καὶ τὸν πλοῦτον ὑμῶν καὶ τὰς παρατάξεις πάσας εἰς τοιούτους ἀγροὺς καὶ οἰκίας δαπανᾶτε, καθὰ ἐλάβετε παρὰ τοῦ θεοῦ. [9] εἰς τοῦτο γὰρ ἐπλούτισεν ὑμᾶς ὁ δεσπότης, ἵνα ταύτας τὰς διακονίας τελέσητε αὐτῷ· πολὺ βέλτιόν ἐστι τοιούτους ἀγροὺς ἀγοράζειν καὶ κτήματα καὶ οἴκους, οὓς εὑρήσεις ἐν τῇ πόλει σου, ὅταν ἐπιδημήσῃς εἰς αὐτήν. [10] αὕτη ἡ πολυτέλεια καλὴ καὶ ἱλαρά, λύπην μὴ ἔχουσα μηδὲ φόβον, ἔχουσα δὲ χαράν. τὴν οὖν πολυτέλειαν τῶν ἐθνῶν μὴ πράσσετε· ἀσύμφορον γάρ ἐστιν ὑμῖν τοῖς δούλοις τοῦ θεοῦ. [11] τὴν δὲ ἰδίαν πο-

εἰσί, τουτέστι τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου. οὐκοῦν ὀφείλομεν ὡς ἐπὶ ξένης κατοικοῦντες μηδὲν πλέον ἑτοιμάζειν ἑαυτοῖς εἰ μὴ τὴν αὐτάρκειαν τὴν ἀρκετήν. οἱ γὰρ ἀγαπῶντες τὸν ἑαυτῶν κύριον καὶ ἔχοντες αὐτὸν ἀεὶ ἐν τῇ ἑαυτῶν καρδίᾳ ἐν ταῖς ἐντολαῖς αὐτοῦ πορεύσονται καὶ ταῖς ἐπαγγελίαις αὐτοῦ πιστεύουσι καὶ καραδοκοῦσι. καλὸν οὖν ἐστίν ἀντὶ τῶν κτισμάτων (l. κτημάτων) καὶ χρημάτων τῶν σήμερον μὲν ἡμετέρων, αὔριον δὲ ἀλλοτρίων ὠνήσασθαι ψυχὰς θλιβομένας, καθὼς τις δύναται, καὶ χήρας καὶ ὀρφανοὺς ἐπισκέπτεσθαι καὶ μὴ παραβλέπειν αὐτούς — ὡσαύτως καὶ ἐν μοναστηρίοις — καὶ οὕτω καλῶς διοικεῖν τὰ καθ' ἑαυτούς· καὶ τὸν πλοῦτον ὃν παρὰ θεοῦ εἰλήφαμεν ἐν τῷδε τῷ βίῳ εἰς ἄλλους ἀναλίσκειν. εἰς τοῦτο γὰρ καὶ παρέσχεν ἡμῖν αὐτὰ ὁ ἀγαθὸς ἡμῶν δεσπότης, ἵνα εἰς τὴν διακονίαν ταύτην δαπανηθῶσι, καὶ ἀντ' αὐτῶν κομισώμεθα θησαυρὸν ἀνέκλειπτον. πολὺ οὖν βέλτιόν ἐστι τοιούτους

Sim. I. 1. σοι p. ae. Hg.[1] Gh. F., om. L. v. (cum tota sententia). 6. θέλῃ v. p. (cf. ae.) Gh. F., ἔλθῃ L. ed. pr. Ti. Hg.[1] 9. ἀνυβρίστως ἀγαλλιώμενος v. (sine iniuria hilaris) p. (sine iniuria laetus) ae. (hilaris sine murmuratione) Hb. Gh. F., ἀνυβρίστως καὶ ἀγαλλιωμένως L. Ti., ἀνυβρίστως καὶ ἀγαλλιώμενος ed. pr. Hg.[1] 17. καθὰ p. ae., ἃ L. (Gh.), ὡς ed. pr. Ti. Hg.[1] Gh. F. 20. ὅταν bis scriptum in L. | ἐπιδημήσῃς L. p. (cum intraveritis) et edd., ἀποδημήσωμεν Ant. (cf. ae. reverteris). 21. ἱλαρρά p. ae., ἱερά L. et edd. 22. ἐθνῶν (L.) v. p. ae. Hg.[1] Gh. F., ἐθνικῶν (L.) ed. pr. Ti. in L. compendium ambiguum. 22 sq. ἀσύμφορον L. v. et edd., ἀσύμφωνον p. (inconveniens) ae. (non decet) Hb.

λυτέλειαν πράσσετε, ἐν ᾗ δύνασθε χαρῆναι, καὶ μὴ παραχαράσσετε, μηδὲ τοῦ ἀλλοτρίου ἅψησθε μηδὲ ἐπιθυμεῖτε αὐτοῦ· πονηρὸν γάρ ἐστιν ἀλλοτρίων ἐπιθυμεῖν. τὸ δὲ σὸν ἔργον ἐργάζου καὶ σωθήσῃ'.

Παραβολὴ β'.

1 Περιπατοῦντός μου εἰς τὸν ἀγρὸν καὶ κατανοοῦντος πτελέαν καὶ ἄμπελον καὶ διακρίνοντος περὶ αὐτῶν καὶ τῶν καρπῶν αὐτῶν φανεροῦταί μοι ὁ ποιμὴν καὶ λέγει ,Τί σὺ ἐν ἑαυτῷ ζητεῖς περὶ τῆς πτελέας καὶ τῆς ἀμπέλου'; ,Συζητῶ', φημί, ,κύριε, ὅτι εὐπρε-
2 πέσταταί εἰσιν ἀλλήλαις'. [2],Ταῦτα τὰ δύο δένδρα', φησίν, ,εἰς τύπον κεῖνται τοῖς δούλοις τοῦ θεοῦ'. ,Ἤθελον', φημί, ,γνῶναι τὸν τύπον τῶν δένδρων τούτων ὧν λέγεις'. ,Βλέπεις', φησί, ,τὴν
3 πτελέαν καὶ τὴν ἄμπελον'; ,Βλέπω', φημί, ,κύριε'. [3],Ἡ ἄμπελος', φησίν, ,αὕτη καρπὸν φέρει, ἡ δὲ πτελέα ξύλον ἄκαρπόν ἐστιν· ἀλλ' ἡ ἄμπελος αὕτη ἐὰν μὴ ἀναφθῇ ἐπὶ τὴν πτελέαν, οὐ δύναται καρποφορῆσαι πολὺ ἐρριμμένη χαμαί, καὶ ὃν φέρει καρπόν, σεσηπότα φέρει μὴ κρεμαμένη ἐπὶ τῆς πτελέας. ὅταν οὖν ἐπιρριφῇ ἡ ἄμπελος ἐπὶ τὴν πτελέαν, καὶ παρ' ἑαυτῆς φέρει καρπὸν καὶ παρὰ τῆς
4 πτελέας. [4]βλέπεις οὖν ὅτι καὶ ἡ πτελέα πολὺν καρπὸν δίδωσιν, οὐκ ἐλάσσονα τῆς ἀμπέλου, μᾶλλον δὲ καὶ πλείονα. ,Πῶς', φημί, ,κύριε, πλείονα'; ,Ὅτι', φησίν, ,ἡ ἄμπελος κρεμαμένη ἐπὶ τὴν πτελέαν τὸν καρπὸν πολὺν καὶ καλὸν δίδωσιν, ἐρριμμένη δὲ χαμαὶ σαπρὸν καὶ ὀλίγον φέρει. αὕτη οὖν ἡ παραβολὴ εἰς τοὺς δού-
5 λους τοῦ θεοῦ κεῖται, εἰς πτωχὸν καὶ πλούσιον'. [5],Πῶς', φημί, κύριε, γνώρισόν μοι'. ,Ἄκουε', φησίν· ,ὁ μὲν πλούσιος ἔχει χρήματα πολλά, τὰ δὲ πρὸς τὸν κύριον πτωχεύει περισπώμενος περὶ τὸν πλοῦτον αὐτοῦ καὶ λίαν μικρὰν ἔχει τὴν ἐξομολόγησιν καὶ τὴν

ἀγροὺς καὶ κτήματα ἀγοράζειν ἅτινα καὶ παράμονά εἰσι καὶ προάγουσιν εἰς τὴν ἡμῶν μητρόπολιν, ὅταν ἀποδημήσωμεν εἰς αὐτήν. ἀμεριμνήσωμεν οὖν, ἀγαπητοί, τῶν προσκαίρων, ἵνα τῶν ἀϊδίων ἐπιτύχωμεν.

Sim. II. p. 76, 6—20. Origenes Hom. in Iosuam X, 1 (Opp. II, 423): similis quoque etiam in libello qui apellatur Pastoris de his figura describitur. ait enim, quia est arbor quaedam, quae ulmus apellatur, quae fructum non affert, portat tamen vitem, quae affert plurimum fructum; et ex eo quod adminiculo est viti, quae eius viribus nitens vel afferre vel servare potest plurimum fructum, etiam ulmus, quae infructuosa est, necessaria videtur et utilis ex hoc ipso quod fructiferae deserviat viti.

Sim. II. 5. παραβολὴ β' v. p. ed. pr. Hg.[1] F., ἀρχὴ ἄλλης παραβολῆς L., ἄλλη παραβολή Gh., initium ae. 8. λέγει L. ed. pr. Ti. Hg.[1], λέγει μοι (cf. v. p. ae.) Gh. F. 9. κύριε v. p. ae. Gh. F., om. L. ed. pr. Ti. Hg.[1] 15. ἀναφθῇ emendavi, applicata fuerit v. p., ἀναβῇ L. ed. pr. Ti. Hg.[1] Gh. F. 20. 21. Πῶς, φημί, κύριε. πλείονα; v. (quomodo, inquam, maiorem domine?) ae. (et dixi ei: Quomodo, domine, plures?) Gh. F., om. L. p. ed. pr. Ti. Hg.[1]

ἔντευξιν πρὸς τὸν κύριον, καὶ ἣν ἔχει, μικρὰν καὶ βληχρὰν καὶ
ἄνω μὴ ἔχουσαν δύναμιν. ὅταν οὖν ἀναφθῇ ὁ πλούσιος ἐπὶ τὸν
πένητα καὶ χορηγήσῃ αὐτῷ τὰ δέοντα, πιστεύων ὅτι ὃ ἐργάσεται
εἰς τὸν πένητα δυνήσεται τὸν μισθὸν εὑρεῖν παρὰ τῷ θεῷ — ὅτι
5 ὁ πένης πλούσιός ἐστιν ἐν τῇ ἐντεύξει καὶ τῇ ἐξομολογήσει, καὶ
δύναμιν μεγάλην ἔχει ἡ ἔντευξις αὐτοῦ παρὰ τῷ θεῷ — ἐπιχορη-
γεῖ οὖν ὁ πλούσιος τῷ πένητι πάντα ἀδιστάκτως· [6] ὁ πένης δὲ 6
ἐπιχορηγούμενος ὑπὸ τοῦ πλουσίου ἐντυγχάνει αὐτῷ τῷ θεῷ εὐ-
χαριστῶν περὶ τοῦ διδόντος αὐτῷ. κἀκεῖνος ἔτι ἐπισπουδάζει περὶ
10 τοῦ πένητος, ἵνα ἀδιάλειπτος γένηται ἐν τῇ ζωῇ αὐτοῦ· οἶδε γὰρ
ὅτι ἡ ἔντευξις τοῦ πένητος προσδεκτή ἐστι καὶ πλουσία πρὸς τὸν
θεόν. [7] ἀμφότεροι οὖν τὸ ἔργον τελοῦσιν· ὁ μὲν πένης ἐργάζεται 7
τὴν ἔντευξιν, ἐν ᾗ πλουτεῖ, ἣν ἔλαβεν ἀπὸ τοῦ κυρίου· ταύτην
ἀποδίδωσι τῷ κυρίῳ τῷ ἐπιχορηγοῦντι αὐτῷ. καὶ ὁ πλούσιος
15 ὡσαύτως τὸν πλοῦτον, ὃν ἔλαβεν ἀπὸ τοῦ κυρίου, ἀδιστάκτως πα-
ρέχει τῷ πένητι. καὶ τοῦτο ἔργον μέγα ἐστὶ καὶ δεκτὸν παρὰ τῷ
θεῷ, ὅτι συνῆκεν ἐπὶ τῷ πλούτῳ αὐτοῦ καὶ εἰργάσατο εἰς τὸν πέ-
νητα ἐκ τῶν δωρημάτων τοῦ κυρίου καὶ ἐτέλεσε τὴν διακονίαν τοῦ
κυρίου ὀρθῶς. [8] παρὰ τοῖς ἀνθρώποις οὖν ἡ πτελέα δοκεῖ καρπὸν 8
20 μὴ φέρειν, καὶ οὐκ οἴδασιν οὐδὲ νοοῦσιν ὅτι, ἐὰν ἀβροχία γένηται,
ἡ πτελέα ὕδωρ ἔχουσα τρέφει τὴν ἄμπελον, καὶ ἡ ἄμπελος ἀδιά-
λειπτον ἔχουσα ὕδωρ διπλοῦν τὸν καρπὸν δίδωσι, καὶ ὑπὲρ ἑαυ-
τῆς καὶ ὑπὲρ τῆς πτελέας. οὕτω καὶ οἱ πένητες ἐντυγχάνοντες
πρὸς τὸν κύριον ὑπὲρ τῶν πλουσίων πληροφοροῦσι τὸν πλοῦτον
25 αὐτῶν, καὶ πάλιν οἱ πλούσιοι χορηγοῦντες τοῖς πένησι τὰ δέοντα
πληροφοροῦσι τὰς ψυχὰς αὐτῶν. [9] γίνονται οὖν ἀμφότεροι κοι- 9
νωνοὶ τοῦ ἔργου τοῦ δικαίου. ταῦτα οὖν ὁ ποιῶν οὐκ ἐγκαταλει-
φθήσεται ὑπὸ τοῦ θεοῦ, ἀλλ' ἔσται ἐπιγεγραμμένος εἰς τὰς βίβλους
τῶν ζώντων. [10] μακάριοι οἱ ἔχοντες καὶ συνιέντες ὅτι παρὰ τοῦ 10
30 κυρίου πλουτίζονται· [ὁ γὰρ ταῦτα φρονήσας δυνήσεται ἀγαθόν τι
ἐργάζεσθαι]'.

Sim. II. 1. βληχράν (cf. Sim. V, 4, p. 89, 19) edd., βλιχράν L. 2. ἄνω p. (apud dominum) Ti. (coniectura) Hg.[1] Gh. F., ανῶῦ (i. e. ἀνθρώπου) L., ἀνθρώπου ed. pr. Ti. | ἀναφθῇ (cf. p. 76, 15) ae. (innixus fuerit), ἀναπλῇ L. ed. pr. Ti., ἀναπνῇ Hg.[1] ἀναβῇ Hb. Gh. F., δαπανῇ A. Harnack., om. v. 8 sq. εὐχαριστῶν L. Ti. Hg.[1] Gh. F., (καὶ) εὐχαριστεῖ ed. pr. 17. συνῆκεν L. Ti. Hg.[1] Gh. F., συνίει ed. pr. 28. ὑπὸ Hg.[1] Gh. F., ἀπὸ L. ed. pr. Ti. 30. 31. ὁ γὰρ — ἐργάζεσθαι v. (qui hoc enim senserit, poterit aliquid ministrare) p. (qui autem hoc senserint poterunt aliquid boni operari) ae. (nam qui hoc scit, bona opera agere potest), οἱ γὰρ ταῦτα φρονήσαντες δυνήσονται ἀγαθόν τι ἐργάζεσθαι Hg.[1], ὁ γὰρ ταῦτα φρονῶν δυνήσεται ἀ. τ. ἐ. Gh. F.

Παραβολὴ γ'.

1 Ἔδειξέ μοι δένδρα πολλὰ μὴ ἔχοντα φύλλα, ἀλλ' ὡσεὶ ξηρὰ ἐδόκει μοι εἶναι· ὅμοια γὰρ ἦν πάντα. καὶ λέγει μοι ‚Βλέπεις τὰ δένδρα ταῦτα'; ‚Βλέπω', φημί, ‚κύριε, ὅμοια ὄντα καὶ ξηρά'. ἀποκριθείς μοι λέγει ‚Ταῦτα τὰ δένδρα ἃ βλέπεις, οἱ κατοικοῦντές εἰσιν 2 ἐν τῷ αἰῶνι τούτῳ'. [2]‚Διὰ τί οὖν', φημί, ‚κύριε, ὡσεὶ ξηρά εἰσι καὶ ὅμοια'; ‚Ὅτι', φησίν, ‚οὔτε οἱ δίκαιοι φαίνονται, οὔτε οἱ ἁμαρτωλοὶ ἐν τῷ αἰῶνι τούτῳ· ἀλλ' ὅμοιοί εἰσιν· ὁ γὰρ αἰὼν οὗτος τοῖς δικαίοις χειμών ἐστι, καὶ οὐ φαίνονται μετὰ τῶν ἁμαρτωλῶν 3 κατοικοῦντες. [3]ὥσπερ γὰρ ἐν τῷ χειμῶνι τὰ δένδρα ἀποβεβληκότα τὰ φύλλα ὅμοιά εἰσι, καὶ οὐ φαίνονται τὰ ξηρὰ ποῖά εἰσιν ἢ τὰ ζῶντα, οὕτως ἐν τῷ αἰῶνι τούτῳ οὐ φαίνονται οὔτε οἱ δίκαιοι οὔτε οἱ ἁμαρτωλοί, ἀλλὰ πάντες ὅμοιοί εἰσιν'.

Παραβολὴ δ'.

1 Ἔδειξέ μοι πάλιν δένδρα πολλά, ἃ μὲν βλαστῶντα, ἃ δὲ ξηρά. καὶ λέγει μοι ‚Βλέπεις τὰ δένδρα ταῦτα'; ‚Βλέπω', φημί, ‚κύριε, τὰ 2 μὲν βλαστῶντα, τὰ δὲ ξηρά'. [2]‚Ταῦτα', φησί, ‚τὰ δένδρα τὰ βλαστῶντα οἱ δίκαιοί εἰσιν οἱ μέλλοντες κατοικεῖν εἰς τὸν αἰῶνα τὸν ρἐχόμενον· ὁ γὰρ αἰὼν ὁ ἐρχόμενος θέρος ἐστὶ τοῖς δικαίοις, τοῖς δὲ ἁμαρτωλοῖς χειμών. ὅταν οὖν ἐπιλάμψῃ τὸ ἔλεος τοῦ κυρίου, τότε φανερωθήσονται οἱ δουλεύοντες τῷ θεῷ καὶ πάντες γνωσθή- 3 σονται· [3]ὥσπερ γὰρ τῷ θέρει ἑνὸς ἑκάστου δένδρου οἱ καρποὶ φανεροῦνται καὶ ἐπιγινώσκονται ποταποί εἰσιν, οὕτω καὶ τῶν δικαίων οἱ καρποὶ φανεροὶ ἔσονται, καὶ γνωσθήσονται πάντες. ἱλαροὶ οἱ 4 εὐθαλεῖς ὄντες ἐν τῷ αἰῶνι ἐκείνῳ. [4]τὰ δὲ ἔθνη καὶ οἱ ἁμαρτωλοί,

Sim. III. p. 78, 2—13. Origenes in Matth. XXIV, 32 (Opp. III, 872): sic et in aliqua parabola refertur Pastoris, si cui placeat etiam illum legere librum, quoniam seculum praesens hiems est iustis, qui apparent similes proximis suis natura, et arboribus videlicet caeteris siccis, tempore autem opportuno in fructibus suis apparent.

Sim. III. 1. Παραβολλὴ γ' v. (nonnulli codd.) p. ed. pr. Hg.[1] F., ἀρχὴ ἄλλης παραβολῆς L. Ti., Ἄλλη παραβολή Gh., om. ae. 2. μὴ L. v. p. et edd., om. ae.
Sim. IV. 14. Παραβολὴ δ' v. (nonnulli codd.) p. ed. pr. Hg.[1] F., ἀρχὴ ἄλλης παραβολῆς L. Ti., Ἄλλη παραβολή Gh., om. ae. 16. Βλέπεις L. ae. et edd., Βλέπεις, φησί v. p. 19. θέρος v. p. ae. Ang. Hg.[1] Gh. F., θρόνος L. Ti. 21 sq. καὶ πάντες γνωσθήσονται (cf. l. 24) emendavi, καὶ πάντες φανερωθήσονται L. (repetito e l. 21 φαν.), omnibus perspicui erunt v., omnibus palam fient p., omnes cognoscent eos, καὶ πᾶσιν φανεροὶ ἔσονται proposuit Gh. 24. 25. ἱλαροὶ οἱ εὐθαλεῖς ὄντες scripsi, hilares et gaudentes v., laetantes qui minimi (l. virides) erant p., οἱ εὐθαλεῖς ὄντες bis scripta L., οἱ εὐθαλεῖς ὄντες ed. pr. Ti. Hg.[1], εὐθαλεῖς ὄντες Hb. Gh. (nonnulla excidisse ratus) F.

οἷα εἶδες τὰ δένδρα τὰ ξηρά, τοιοῦτοι εὑρεθήσονται, ξηροὶ καὶ ἄκαρποι ἐν ἐκείνῳ τῷ αἰῶνι, καὶ ὡς ξύλα κατακαυθήσονται καὶ φανεροὶ ἔσο[νται]· ὅτι ἡ πρᾶξις αὐτῶν πονηρὰ γέγονεν ἐν τῇ ζωῇ αὐτῶν. οἱ μὲν γὰρ ἁμαρτωλοὶ καυθήσονται, ὅτι ἥμαρτον καὶ οὐ 5 μετενόησαν, τὰ δὲ ἔθνη καυθήσο[νται], ὅτι οὐκ ἔγνωσαν τὸν κτίσαντα αὐτούς. [5]σὺ οὖν καρποφόρησον, ἵνα ἐν τῷ θέρει ἐκείνῳ 5 γνωσθῇ σου ὁ καρπός. ἀπέχου δὲ ἀπὸ τῶν πολλῶν πράξεων καὶ οὐ[δέποτε] οὐδὲν διαμαρτήσεις· οἱ γὰρ τὰ πολλὰ πράσσοντες πολλὰ καὶ ἁμαρτάνουσι περισπώμενοι περὶ τὰς πράξεις αὐτῶν καὶ 10 μηδὲν δουλεύοντες τῷ κυρίῳ ἑ[αυτῶν]· [6]‚πῶς οὖν', φησίν, ‚ὁ 6 τοιοῦτος δύναταί τι αἰτήσασθαι παρὰ τοῦ κυρίου καὶ λαβεῖν, μὴ δουλεύων τῷ κυρίῳ; οἱ δὲ δουλεύοντες αὐτῷ, ἐκεῖνοι λήψονται τὰ αἰτήματα αὐτῶν, οἱ δὲ μὴ δουλεύοντες τῷ κυρίῳ, ἐκεῖνοι οὐδὲν λήψονται. [7]ἐὰν δὲ μίαν τις πρᾶξιν ἐργάσηται, δύναται καὶ τῷ 7 15 κυρίῳ δουλεῦσαι· οὐ γὰρ διαφθαρήσεται ἡ διάνοια αὐτοῦ ἀπὸ τοῦ κυρίου, ἀλλὰ δουλεύσει αὐτῷ ἔχων τὴν διάνοιαν αὐτοῦ καθαράν· ταῦτα οὖν ἐὰν ποιήσῃς, δύνασαι καρποφορῆσαι εἰς τὸν αἰῶνα τὸν ἐρχόμενον· καὶ ὃς ἂν ταῦτα ποιήσῃ, καρποφορήσει.

Παραβολὴ ε'.

20 I. Νηστεύων καὶ καθήμενος εἰς ὄρος τι καὶ εὐχαριστῶν τῷ 1 κυρίῳ περὶ πάντων ὧν ἐποίησε μετ' ἐμοῦ, βλέπω τὸν ποιμένα παρακαθήμενόν μοι καὶ λέγοντα ‚Τί ὀρθρινὸς ὧδε ἐλήλυθας'; ‚Ὅτι', φημί, ‚κύριε, στατίωνα ἔχω. [2]‚Τί', φησίν, ‚ἐστὶ στατίων'; ‚Νη- 2 στεύω', φημί, ‚κύριε'. ‚Νηστεία δέ', φησί, ‚τί ἐστιν αὕτη, ἣν νη- 25 στεύετε'; ‚Ὡς εἰώθειν', φημί, ‚κύριε, οὕτω νηστεύω'. [3]‚Οὐκ οἴδατε', 3 φησί, ‚νηστεύειν τῷ κυρίῳ, οὐδέν ἐστιν ἡ νηστεία αὕτη ἡ ἀνωφελής, ἣν νηστεύετε αὐτῷ'. ‚Διὰ τί', φημί, ‚κύριε, τοῦτο λέγεις'; ‚Λέγω σοι', φησίν, ‚ὅτι οὐκ ἔστιν αὕτη νηστεία, ἣν δοκεῖτε νηστεύειν· ἀλλ' ἐγώ σε διδάξω τί ἐστι νηστεία πλήρης καὶ δεκτὴ τῷ 30 κυρίῳ. ἄκουε', φησίν· [4]‚ὁ θεὸς οὐ βούλεται τοιαύτην νηστείαν 4

Sim. V, I. 28. Pseudo-Athanasius ad Antiochum c. 16 p. 31: τοῦτο οὐκ ἔστιν νηστεία.

Sim. IV. 1. οἷα v. p. M. Schmidt, Hg.[1], ἃ L. ed. pr. Ti. Gh. F. (non favente ae.). 8. διαμαρτήσεις M. Schmidt Hg.[1] F., διαμάρτῃς L. Gh. 10. μηδὲν L. ed. pr. Ti. Hg.[1], non v. p., μηδὲ Gh. F. 12. δὲ v. (enim) p. (autem), γὰρ Hb. Gh. F., om. L. ed. pr. Ti. Hg.[1]
Sim. V, I. 19. Παραβολὴ ε' v. p. ed. pr. Hg.[1] F., ἀρχὴ ἄλλης παραβολῆς L., Ἄλλη παραβολή Gh., om. ae. 21. πάντων v. ae. Hg.[1] Gh. F., τούτων L. p. ed. pr. Ti. 24. τί L. v. ae. et edd., τίς p. Hb. 26. κυρίῳ L. ae. et edd., θεῷ v. p. | οὐδέν (cf. τί l. 24) p. (nihil proficit) Hg.[1], οὐδὲ L. v. p. ed. pr. Ti. Gh. F. | ἡ νηστεία L. ed. pr. Ti. Hg.[1], νηστεία Gh. F., νηστεία ἡ νηστεία coniecerunt Ang. Ti. 29. πλήρης καὶ δεκτὴ v. p. Hb. Gh. F., δεκτὴ καὶ πλήρης L. ed. pr. Ti. Hg.[1]

ματαίαν· οὕτω γὰρ νηστεύων οὐδὲν ἐργάσῃ τῇ δικαιοσύνῃ. νή-
5 στευσον δὲ τῷ θεῷ νηστείαν τοιαύτην· [5]μηδὲν πονηρεύσῃ ἐν τῇ
ζωῇ σου καὶ δούλευσον τῷ κυρίῳ ἐν καθαρᾷ καρδίᾳ, τήρησον τὰς
ἐντολὰς αὐτοῦ πορευόμενος ἐν τοῖς προστάγμασιν αὐτοῦ, καὶ μη-
δεμία ἐπιθυμία πονηρὰ ἀναβήτω ἐν τῇ καρδίᾳ σου. πίστευσον δὲ
τῷ θεῷ, ὅτι ἐὰν ταῦτα ἐργάσῃ καὶ φοβηθῇς αὐτὸν καὶ ἐγκρατεύσῃ
ἀπὸ παντὸς πονηροῦ πράγματος, ζήσῃ τῷ θεῷ· καὶ ταῦτα ἐὰν
1 ἐργάσῃ, μεγάλην νηστείαν ποιήσεις καὶ δεκτὴν τῷ θεῷ. II. ἄκουε
2 τὴν παραβολήν, ἣν μέλλω σοι λέγειν ἀνήκουσαν τῇ νηστείᾳ. [2]εἶχέ
τις ἀγρὸν καὶ δούλους πολλοὺς καὶ μέρος τι τοῦ ἀγροῦ ἐφύτευσεν
ἀμπελῶνα. καὶ ἐκλεξάμενος δοῦλόν τινα πιστὸν καὶ εὐάρεστον
ἐκδημῶν προσεκαλέσατο αὐτὸν καὶ λέγει αὐτῷ· ‚Λάβε τὸν ἀμπελῶνα
τοῦτον, ὃν ἐφύτευσα, καὶ χαράκωσον αὐτὸν ἕως ἔρχομαι, καὶ ἕτε-
ρον δὲ μὴ ποιήσῃς τῷ ἀμπελῶνι. καὶ ταύτην μου τὴν ἐντολὴν
φύλαξον, καὶ ἐλεύθερος ἔσῃ παρ' ἐμοί'. ἐξῆλθε δὲ ὁ δεσπότης
3 τοῦ δούλου εἰς τὴν ἀποδημίαν. [3]ἐξελθόντος δὲ αὐτοῦ ἔλαβεν ὁ
δοῦλος καὶ ἐχαράκωσε τὸν ἀμπελῶνα. καὶ τελέσας τὴν χαράκωσιν
4 τοῦ ἀμπελῶνος εἶδε τὸν ἀμπελῶνα βοτανῶν πλήρη ὄντα. [4]ἐν
ἑαυτῷ οὖν ἐλογίσατο λέγων ‚Ταύτην τὴν ἐντολὴν τοῦ κυρίου τετέ-
λεκα· σκάψω λοιπὸν τὸν ἀμπελῶνα τοῦτον, καὶ ἔσται εὐπρεπέστερος
ἐσκαμμένος, καὶ βοτάνας μὴ ἔχων δώσει καρπὸν πλείονα, μὴ πνι-
γόμενος ὑπὸ τῶν βοτανῶν'. λαβὼν ἔσκαψε τὸν ἀμπελῶνα καὶ
πάσας τὰς βοτάνας τὰς οὔσας ἐν τῷ ἀμπελῶνι ἐξέτιλλε. καὶ ἐγέ-
νετο ὁ ἀμπελὼν ἐκεῖνος εὐπρεπέστατος καὶ εὐθαλής, μὴ ἔχων βο-
5 τάνας πνιγούσας αὐτόν. [5]μετὰ χρόνον τινὰ ἦλθεν ὁ δεσπότης
τοῦ δούλου καὶ εἰσῆλθεν εἰς τὸν ἀμπελῶνα. καὶ ἰδὼν τὸν ἀμπε-
λῶνα κεχαρακωμένον εὐπρεπῶς, ἔτι δὲ καὶ ἐσκαμμένον καὶ πάσας
τὰς βοτάνας ἐκτετιλμένας καὶ εὐθαλεῖς οὔσας τὰς ἀμπέλους ἐχάρη
6 λίαν ἐπὶ τοῖς ἔργοις τοῦ δούλου. [6]προσκαλεσάμενος οὖν τὸν υἱὸν
αὐτοῦ τὸν ἀγαπητόν, ὃν εἶχε κληρονόμον, καὶ τοὺς φίλους, οὓς
εἶχε συμβούλους, λέγει αὐτοῖς ὅσα ἐνετείλατο τῷ δούλῳ αὐτοῦ
καὶ ὅσα εὗρε γεγονότα. κἀκεῖνοι συνεχάρησαν τῷ δούλῳ ἐπὶ τῇ

Sim. V, I. 1. νηστεύων v. p. ae. (Gh. dubius), νηστεύων τῷ θεῷ L. et edd. | τῇ δικαιοσύνῃ L. v. et edd., τῆς δικαιοσύνης p. Hb. 6. ὅτι v. p. (Ang.) Hb. (Gh.) F., καὶ L. ed. pr. Ti. Hg.[1] Gh. 8. ποιήσεις v. p. Hg.[1] F., ποιεῖς L. ed. pr. Ti. Gh. (fort. τελέσεις).

II. 11. ἐκλεξάμενος L. v. p. ae. et edd., ὕστερον δὲ εἰς ἀποδημίαν πορευσόμενος καὶ (cf. v. p. ae.) praemittenda esse censuit Hb., nonnulla excidisse etiam Gh. videbantur, sed cf. l. 12. 12. ἐκδημῶν v. (affuturis [l. afuturus]. deinde peregre profectus) p. (peregre afuturus) ae. (et cum iter facturus esset), ἔντιμον L. et edd. 25. μετὰ χρόνον τινὰ v. (post aliquantulum temporis) p. (post aliquantum temporis) ae. (et post multum tempus) Hg.[1] Gh. F., μετὰ δὲ χρόνον τινὰ Hb., μετὰ χρόνον L. ed. p. Ti. 26. τοῦ δούλου v. p. ae., τοῦ δούλου καὶ τοῦ ἀγροῦ L. et edd. 27. πάσας L. et edd., om. v. p. ae. 30. ὃν εἶχε κληρονόμον bis L. 31. αὐτοῦ v. p. (ae.) Hg.[1] Gh. F., αὐτῷ L. ed. pr. Ti.

μαρτυρίᾳ ᾗ ἐμαρτύρησεν αὐτῷ ὁ δεσπότης. [7]καὶ λέγει αὐτοῖς ,Ἐγὼ τῷ δούλῳ τούτῳ ἐλευθερίαν ἐπηγγειλάμην, ἐάν μου τὴν ἐντολὴν φυλάξῃ, ἣν ἐνετειλάμην αὐτῷ· ἐφύλαξε δέ μου τὴν ἐντολὴν καὶ προσέθηκε τῷ ἀμπελῶνι ἔργον καλὸν καὶ ἐμοὶ λίαν ἤρεσεν. ἀντὶ τούτου οὖν τοῦ ἔργου οὗ εἰργάσατο θέλω αὐτὸν συγκληρονόμον τῷ υἱῷ μου ποιῆσαι, ὅτι τὸ καλὸν φρονήσας οὐ παρενεθυμήθη, ἀλλ' ἐτέλεσεν αὐτό'. [8]ταύτῃ τῇ γνώμῃ τοῦ δεσπότου ὁ υἱὸς καὶ οἱ φίλοι αὐτοῦ συνηυδόκησαν, ἵνα συγκληρονόμος γένηται ὁ δοῦλος τῷ υἱῷ. [9]μετὰ ἡμέρας ὀλίγας δεῖπνον ἐποίησεν ὁ οἰκοδεσπότης αὐτοῦ καὶ ἔπεμψεν τῷ δούλῳ αὐτοῦ ἐκ τοῦ δείπνου ἐδέσματα πολλά. λαβὼν δὲ ὁ δοῦλος τὰ ἐδέσματα τὰ πεμφθέντα αὐτῷ παρὰ τοῦ δεσπότου τὰ ἀρκοῦντα αὐτῷ ἦρε, τὰ λοιπὰ δὲ τοῖς συνδούλοις αὐτοῦ διέδωκεν. [10]οἱ δὲ σύνδουλοι αὐτοῦ λαβόντες τὰ ἐδέσματα ἐχάρησαν καὶ ἤρξαντο εὔχεσθαι ὑπὲρ αὐτοῦ, ἵνα χάριν μείζονα εὕρῃ παρὰ τῷ δεσπότῃ, ὅτι οὕτως ἐχρήσατο αὐτοῖς. [11]ταῦτα πάντα τὰ γεγονότα ὁ δεσπότης αὐτοῦ ἤκουσε καὶ πάλιν λίαν ἐχάρη ἐπὶ τῇ πράξει αὐτοῦ. συγκαλεσάμενος πάλιν τοὺς φίλους ὁ δεσπότης καὶ τὸν υἱὸν αὐτοῦ ἀπήγγειλεν αὐτοῖς τὴν πρᾶξιν αὐτοῦ, ἣν ἔπραξεν ἐπὶ τοῖς ἐδέσμασιν αὐτοῦ οἷς ἔλαβεν, οἱ δὲ ἔτι μᾶλλον συνευδόκησαν τῷ οἰκοδεσπότῃ, γενέσθαι τὸν δοῦλον συγκληρονόμον τῷ υἱῷ αὐτοῦ.

III. Λέγω ,Κύριε, ἐγὼ ταύτας τὰς παραβολὰς οὐ γινώσκω οὐδὲ δύναμαι νοῆσαι, ἐὰν μή μοι ἐπιλύσῃς αὐτάς'. [2],Πάντα σοι ἐπιλύσω', φησί, ,καὶ ὅσα ἂν λαλήσω μετὰ σοῦ, δείξω σοι. τὰς ἐντολὰς [τοῦ κυρίου φύλασσε καὶ ἔσῃ δόκιμος καὶ ἐγγραφήσῃ εἰς τὸν ἀριθμὸν τῶν φυλασσόντων τὰς ἐντολὰς] αὐτοῦ. [3]ἐάν δέ τι ἀγαθὸν ποιήσῃς ἐκτὸς τῆς ἐντολῆς τοῦ θεοῦ, σεαυτῷ περιποιήσῃ δό-

Sim. V, II. 3. ἐνετειλάμην v. ae. Hg.[1] Gh. F., ἐπηγγειλάμην L. ed. pr. Ti. 7. 8. ταύτῃ τῇ γνώμῃ — συνηυδόκησαν v. (hoc consilium domini et filius et amici eius comprobaverunt) p. (ut v., solo om. voc.: eius) Hg.[1], ταύτῃ τῇ γνώμῃ ὁ υἱὸς τοῦ δεσπότου συνηυδόκησεν αὐτῷ L. ed. pr. (συνευδ.) Ti. Gh. (fort. ante αὐτῷ inserendum ratus: καὶ οἱ φίλοι συνηυδόκησαν) F., placuit filio ae. 9. 10. δεῖπνον ἐποίησεν ὁ οἰκοδεσπότης αὐτοῦ p. (epulatus est paterfamilias) ae. (instituit convivium herus eius) Hg.[1] Gh. F., δεῖπνον ἐποίησεν αὐτοῦ L. ed. pr. Ti., convocatis amicis paterfamilas v., συγκαλεσάμενος τοὺς φίλους δεῖπνον ἐποίησεν αὐτοῖς Hb. 10. τῷ δούλῳ αὐτοῦ p. (illi servo suo) v. (servo illi) Hg.[1], αὐτῷ L. ae. ed. pr. Ti. Gh. F. 15. 16. ὅτι οὕτως ἐχρήσατο αὐτοῖς L. v. (ob ea quae fecerit eis) et edd., om. p. ae. 19. 20. αὐτοῦ — γενέσθαι bis scripta exhibet L. 20. τῷ οἰκοδεσπότῃ v. p., αὐτῷ ae. Gh., om. L. ed. pr. Ti. Hg.[1] F.

III. 22. τὰς ed. pr. Hg.[1] Gh. F., σὰς L. Ti. 25. 26. τοῦ κυρίου — τὰς ἐντολὰς v. (mandata domini custodi et eris probatus et scriberis in numero eorum, qui custodiunt mandata eius) p. (et si mandata domini custodieris, eris probatus deo et scriberis in numero eorum, qui mandata eius custodierunt) Hg.[1] (φύλαξαι et ἐν ἀριθμῷ) Gh. (εὐάρεστος τῷ θεῷ pro δόκιμος) F. (ut Gh.), at serva mandata domini ae., om. L. ed. pr. Ti. 26. δέ v. p. (ae.) (Ang.) Hg.[1] Gh. F., γέ L. ed. pr. Ti. 27. περιποιήσῃ L. et edd., περιποιήσεις? Ang.

ξαν περισσοτέραν καὶ ἔσῃ ἐνδοξότερος παρὰ τῷ θεῷ οὗ ἔμελλες εἶναι. ἐὰν οὖν φυλάσσων τὰς ἐντολὰς τοῦ θεοῦ προσθῇς καὶ τὰς λειτουργίας ταύτας, χαρήσῃ, ἐὰν τηρήσῃς αὐτὰς κατὰ τὴν ἐμὴν ἐν-
4 τολήν'. [4]Λέγω αὐτῷ ,Κύριε, ὃ ἐάν μοι ἐντείλῃ, φυλάξω αὐτό. οἶδα γὰρ ὅτι σὺ μετ' ἐμοῦ εἶ. ,Ἔσομαι', φησί, ,μετὰ σοῦ, ὅτι τοιαύτην προθυμίαν ἔχεις τῆς ἀγαθοποιήσεως, καὶ μετὰ πάντων
5 δὲ ἔσομαι', φησίν, ,ὅσοι ταύτην τὴν προθυμίαν ἔχουσιν. [5]ἡ νηστεία αὕτη', φησί, ,τηρουμένων τῶν ἐντολῶν τοῦ κυρίου, λίαν καλή ἐστιν. οὕτως οὖν φυλάξεις τὴν νηστείαν ταύτην, ἣν μέλλεις
6 τηρεῖν· [6]πρῶτον πάντων φύλαξαι ἀπὸ παντὸς ῥήματος πονηροῦ καὶ πάσης ἐπιθυμίας πονηρᾶς καὶ καθάρισόν σου τὴν καρδίαν ἀπὸ πάντων τῶν ματαιωμάτων τοῦ αἰῶνος τούτου. ἐὰν ταῦτα φυλά-
7 ξῃς, ἔσται σοι αὕτη ἡ νηστεία τελεία. [7]οὕτω δὲ ποιήσεις· συντελέσας τὰ γεγραμμένα, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ᾗ νηστεύεις μηδὲν γεύσῃ εἰ μὴ ἄρτον καὶ ὕδωρ καὶ ἐκ τῶν ἐδεσμάτων σου ὧν ἔμελλες τρώγειν συμψηφίσας τὴν ποσότητα τῆς δαπάνης ἐκείνης τῆς ἡμέρας ἧς ἔμελλες ποιεῖν δώσεις αὐτὸ χήρᾳ ἢ ὀρφανῷ ἢ ὑστερουμένῳ, καὶ οὕτω ταπεινοφρονήσεις, ἵν' ἐκ τῆς τακεινοφροσύνης σου ὁ εἰληφὼς ἐμπλήσῃ τὴν ἑαυτοῦ ψυχὴν καὶ εὔξηται ὑπὲρ σοῦ πρὸς
8 τὸν κύριον. [8]ἐὰν οὖν οὕτω τελέσῃς τὴν νηστείαν, ὥς σοι ἐνετειλάμην, ἔσται ἡ θυσία σου δεκτὴ παρὰ τῷ θεῷ, καὶ ἔγγραφος ἔσται ἡ νηστεία αὕτη, καὶ ἡ λειτουργία οὕτως ἐργαζομένη καλὴ καὶ ἱλαρά
9 ἐστι καὶ εὐπρόσδεκτος τῷ κυρίῳ. [9]ταῦτα οὕτω τηρήσεις σὺ μετὰ

Sim. V, p. 82, 7—23. Pseudo-Athanasius ad Antiochum c. 16 p. 31: ἀλλ' εἰ θέλεις ἐγκρατεύσασθαι καὶ νηστεῦσαι, ἵνα ἡ νηστεία σου δεκτὴ ᾖ τῷ θεῷ, πρῶτον πάντων φύλαξαι νηστεύειν ἀπὸ παντὸς ῥήματος πονηροῦ καὶ ἀκοῆς πονηρᾶς καὶ καθάρισόν σου τὴν καρδίαν ἀπὸ παντὸς μολυσμοῦ καὶ μνησικακίας καὶ αἰσχροκερδίας, καὶ ἐν ἡμέρᾳ ᾗ νηστεύεις ἀρκέσθητι ἄρτῳ καὶ λαχάνοις καὶ ὕδατι εὐχαριστῶν τῷ θεῷ. συμψηφίσας δὲ τὴν ποσότητα τῆς δαπάνης τοῦ ἀρίστου οὗ ἔμελλες ἐσθίειν κατ' ἐκείνην τὴν ἡμέραν δὸς χήρᾳ ἢ ὀρφανῷ ἢ ὑστερουμένῳ, πρὸς ὃν δὴ σαφῶς ἐμπλήσας τὴν ἑαυτοῦ ψυχὴν εὔξεται ὑπὲρ σοῦ πρὸς κύριον. ἐὰν οὖν τελέσῃς τὴν νηστείαν, ὡς ἐνετειλάμην σοι, ἔσται ἡ θυσία σου δεκτὴ ἐνώπιον κυρίου καὶ ἐγγεγραμμένη ἐν τοῖς οὐρανοῖς ἐν ἡμέρᾳ ἀνταποδόσεως τῶν ἡτοιμασμένων ἀγαθῶν τοῖς δικαίοις.

Antiochus Hom. VII p. 1038 C: νηστεία γὰρ ἀληθινή ἐστιν οὐ μόνον τὸ ἑαυτὸν ἐκτήξειν, ἀλλὰ καὶ τὴν ποσότητα τῆς δαπάνης ἣν ἔμελλεν ἐσθίειν δοῦναι χήρᾳ ἢ πτωχῷ, ἵνα ὁ εἰληφὼς ἐμπλησθεὶς εὔξηται ὑπὲρ αὐτοῦ, καὶ δεκτὴ γένηται ἡ θυσία αὐτοῦ παρὰ τῷ θεῷ.

Sim. V, II. 14. τὰ γεγραμμένα L. et edd., quae supra scripta sunt v., quae audisti p., τὰ προγεγραμμένα coniecit Gh. 16. συμψηφίσας (cf. Vis. III. 1, 4) Ps.-Ath. v. p. ae. Lipsius (Z. f. w. Th. 1866, I. p. 50) Hg.[1] Gh. F., συνοψίσας L. ed. pr. Ti. 18. ἵν' L. Gh. F., ἵνα ed. pr. Ti. Hg.[1] 20. ἐὰν οὖν v. p. ae. Ps.-Ath. Gh. F., ἐὰν L. ed. pr. Ti. Hg.[1] 21. θεῷ L. Ant. et edd., κυρίῳ v. p. Ps.-Ath. 22. ἱλαρὰ L. v. p. ed. pr. Ti. Gh. F., ἱερὰ errore Hg.[1]

τῶν τέκνων σου καὶ ὅλου τοῦ οἴκου σου. τηρήσας δὲ αὐτὰ μακάριος ἔσῃ· καὶ ὅσοι ἂν ἀκούσαντες αὐτὰ τηρήσωσι, μακάριοι ἔσονται καὶ ὅσα ἂν αἰτήσωνται παρὰ τοῦ κυρίου λήψονται'.

IV. Ἐδεήθην αὐτοῦ πολλά, ἵνα μοι δηλώσῃ τὴν παραβολὴν τοῦ ἀγροῦ καὶ τοῦ δεσπότου καὶ τοῦ ἀμπελῶνος καὶ τοῦ δούλου τοῦ χαρακώσαντος τὸν ἀμπελῶνα καὶ τῶν χαράκων καὶ τῶν βοτανῶν τῶν ἐκτετιλμένων ἐκ τοῦ ἀμπελῶνος καὶ τοῦ υἱοῦ καὶ τῶν φίλων τῶν συμβούλων. [2] συνῆκα γάρ ὅτι παραβολή τίς ἐστι ταῦτα πάντα. ὁ δὲ ἀποκριθείς μοι εἶπεν ,Αὐθάδης εἶ λίαν εἰς τὸ ἐπερωτᾶν. οὐκ ὀφείλεις', φησίν, ,ἐπερωτᾶν οὐδὲν ὅλως· ἐὰν γάρ σοι δέῃ δηλωθῆναι, δηλωθήσεται', λέγω αὐτῷ ,Κύριε, ὅσα ἄν μοι δείξῃς καὶ μὴ δηλώσῃς, μάτην ἔσομαι ἑωρακὼς αὐτὰ μὴ νοῶν τί ἔστιν. ὡσαύτως καὶ ἐάν μοι παραβολὰς λαλήσῃς καὶ μὴ ἐπιλύσῃς μοι αὐτάς, εἰς μάτην ἔσομαι ἀκηκοώς τι παρὰ σοῦ'. [3] ὁ δὲ πάλιν ἀπεκρίθη μοι λέγων ,Ὃς ἄν', φησί, δοῦλος ᾖ τοῦ θεοῦ καὶ ἔχῃ τὸν κύριον ἑαυτοῦ ἐν τῇ καρδίᾳ, αἰτεῖται παρ' αὐτοῦ σύνεσιν καὶ λαμβάνει καὶ πᾶσαν παραβολὴν ἐπιλύει, καὶ γνωστὰ αὐτῷ γίνονται τὰ ῥήματα τοῦ κυρίου τὰ λεγόμενα διὰ παραβολῶν· ὅσοι δὲ βληχροί εἰσι καὶ ἀργοὶ πρὸς τὴν ἔντευξιν, ἐκεῖνοι διστάζουσιν αἰτεῖσθαι παρὰ τοῦ κυρίου· [4] ὁ δὲ κύριος πολύσπλαγχνός ἐστι καὶ πᾶσι τοῖς αἰτουμένοις παρ' αὐτοῦ ἀδιαλείπτως δίδωσι. σὺ δὲ ἐνδεδυναμωμένος ὑπὸ τοῦ ἁγίου ἀγγέλου καὶ εἰληφὼς παρ' αὐτοῦ τοιαύτην ἔντευξιν καὶ μὴ ὢν ἀργός, διὰ τί οὐκ αἰτῇ παρὰ τοῦ κυρίου σύνεσιν καὶ λαμβάνεις παρ' αὐτοῦ'; [5] λέγω αὐτῷ ,Κύριε, ἐγὼ ἔχων σε μεθ' ἑαυτοῦ ἀνάγκην ἔχω σὲ αἰτεῖσθαι καὶ σὲ ἐπερωτᾶν· σὺ γάρ μοι δεικνύεις πάντα καὶ λαλεῖς μετ' ἐμοῦ· εἰ δὲ ἄτερ σοῦ ἔβλεπον ἢ ἤκουον αὐτά, ἠρώτων ἂν τὸν κύριον ἵνα μοι δηλωθῇ'.

V. ,Εἶπόν σοι', φησί, ,καὶ ἄρτι ὅτι πανοῦργος εἶ καὶ αὐθάδης, ἐπερωτῶν τὰς ἐπιλύσεις τῶν παραβολῶν. ἐπειδὴ δὲ οὕτω παράμονος εἶ, ἐπιλύσω σοι τὴν παραβολὴν τοῦ ἀγροῦ καὶ τῶν λοιπῶν τῶν ἀκολούθων πάντων, ἵνα γνωστὰ πᾶσι ποιήσῃς αὐτά. ἄκουε νῦν', φησί, ,καὶ σύνιε αὐτά. [2] ὁ ἀγρὸς ὁ κόσμος οὗτός ἐστίν· ὁ δὲ κύριος τοῦ ἀγροῦ ὁ κτίσας τὰ πάντα καὶ ἀπαρτίσας αὐτὰ καὶ ἐνδυναμώσας. [ὁ δὲ υἱὸς τὸ πνεῦμα τὸ ἅγιόν ἐστιν].

Sim. V, III. 3. αἰτήσωνται v. p. Ang. Hg.[1] Gh. F., ἀκούσονται L. Ti. IV. 4. πολλὰ L. et edd., om. v. p. ae. 9. πάντα L. et edd., om. v. p. 12. μὴ νοῶν v. (si non intellexero) p. (quia non intelligo) (Ang.) Hg.[1], καὶ μὴ L. ed. pr. Ti. Gh. F. 14. τι L. et edd., eas v. p., αὐτὰς Hb. 16. αὐτοῦ v. p. ae. et edd., αὐτῷ L. 19. βληχροί (cf. Sim. II. p. 77, 1) et edd., βλιχροί L. 20. πολύσπλαγχνος (cf. Mand. IV, 3, 5 p. 42, 10) scripsi, πολυεύσπλαγχνος L. et edd. 27 sq. δηλωθῇ L. et edd., demonstraret v. p. V. 32. ὁ ἀγρὸς L. ae. et edd., (fundus) qui in similitudinem (-ine p.) est positus v. p., quae (ὁ ἐν τῇ παραβολῇ κείμενος) defendit Hb. 34. ἐνδυναμώσας (cf. Mand. V, 2, 8. XII, 5, 1. 6, 4. Sim. V, 4, 4. 5, 2. VII, 4 etc.) Hg.[1] Gh., δυναμώσας L. ed. pr. Ti. F. | uncis inclusa (cf. Sim. IX, 1, 1)

ὁ δὲ δοῦλος ὁ υἱὸς τοῦ θεοῦ ἐστίν· αἱ δὲ ἄμπελοι ὁ λαὸς οὗτός
3 ἐστιν, ὃν αὐτὸς ἐφύτευσεν. [3]οἱ δὲ χάρακες οἱ ἅγιοι ἄγγελοί εἰσι
τοῦ κυρίου οἱ συγκρατοῦντες τὸν λαὸν αὐτοῦ· αἱ δὲ βοτάναι αἱ
ἐκτετιλμέναι ἐκ τοῦ ἀμπελῶνος αἱ ἀνομίαι εἰσὶ τῶν δούλων τοῦ
θεοῦ· τὰ δὲ ἐδέσματα, ἃ ἔπεμψεν αὐτῷ ἐκ τοῦ δείπνου, αἱ ἐντολαί
εἰσιν, ἃς ἔδωκε τῷ λαῷ αὐτοῦ διὰ τοῦ υἱοῦ αὐτοῦ· οἱ δὲ φίλοι
καὶ σύμβουλοι οἱ ἅγιοι ἄγγελοι οἱ πρῶτοι κτισθέντες· ἡ δὲ ἀπο-
δημία τοῦ δεσπότου ὁ χρόνος ὁ περισσεύων εἰς τὴν παρουσίαν
4 αὐτοῦ'. [4]λέγω αὐτῷ ,Κύριε, μεγάλως καὶ θαυμαστῶς πάντα ἔστι
καὶ ἐνδόξως πάντα ἔχει'. ,Μὴ οὖν', φημί, ,ἐγὼ ἐδυνάμην ταῦτα
νοῆσαι; οὐδὲ ἕτερος τῶν ἀνθρώπων, κἂν λίαν συνετὸς ᾖ τις, οὐ
δύναται νοῆσαι αὐτά. ἔτι, φημί', κύριε, ,δήλωσόν μοι ὃ μέλλω σε
5 ἐπερωτᾶν'. [5],Λέγε', φησίν, ,εἴ τι βούλει'. ,Διὰ τί', φημί, ,κύριε, ὁ
1 υἱὸς τοῦ θεοῦ εἰς δούλου τρόπον κεῖται ἐν τῇ παραβολῇ'; VI. ,Ἄκουε',
φησίν, ,εἰς δούλου τρόπον οὐ κεῖται ὁ υἱὸς τοῦ θεοῦ, ἀλλ' εἰς
ἐξουσίαν μεγάλην κεῖται καὶ κυριότητα'. ,Πῶς', φημί, ,κύριε, οὐ
2 νοῶ'. [2],Ὅτι', φησίν, ,ὁ θεὸς τὸν ἀμπελῶνα ἐφύτευσε, τοῦτ' ἔστι
τὸν λαὸν ἔκτισε καὶ παρέδωκε τῷ υἱῷ αὐτοῦ· καὶ ὁ υἱὸς κατέστησε
τοὺς ἀγγέλους ἐπ' αὐτοὺς τοῦ συντηρεῖν αὐτούς· καὶ αὐτὸς τὰς
ἁμαρτίας αὐτῶν ἐκαθάρισε πολλὰ κοπιάσας καὶ πολλοὺς κόπους
ἠντληκώς· οὐδεὶς γὰρ [ἀμπελὼν] δύναται σκαφῆναι ἄτερ κόπου ἢ
3 μόχθου. [3]αὐτὸς οὖν καθαρίσας τὰς ἁμαρτίας τοῦ λαοῦ ἔδειξεν
αὐτοῖς τὰς τρίβους τῆς ζωῆς, δοὺς αὐτοῖς τὸν νόμον, ὃν ἔλαβε
4 παρὰ τοῦ πατρὸς αὐτοῦ. [4][βλέπεις', φησίν, ,αὐτὸν εἶναι τὸν κύ-
ριον τοῦ λαοῦ, πᾶσαν ἐξουσίαν λαβόντα παρὰ τοῦ πατρὸς αὐτοῦ].
ὅτι δὲ ὁ κύριος σύμβουλον ἔλαβε τὸν υἱὸν αὐτοῦ καὶ τοὺς ἐνδό-
5 ξους ἀγγέλους περὶ τῆς κληρονομίας τοῦ δούλου, ἄκουε· [5]τὸ

v. (filius autem spiritus sanctus est) Hg.[1] (τὸ ἅγιον πνεῦμα, cf. p. 64, 8) Gh. F., om. L. p. ae. ed. pr. Ti. hanc heterodoxam sententiam.

Sim. V, V. 1. οὗτός L. et edd., non verterunt v. p. ae. 2. ἐφύτευσεν L. p. et edd., servat (l. severat, non ἐφύλαξε? Gh.) v. 3. συγκρατοῦντες v. p. Hg.[1] Gh. F., συγκροτοῦντες L. ed. pr. Ti. 4. αἱ ἀνομίαι (cf. c. VI. p. 84, 22 τὰς ἁμαρτίας) Hg.[1] Gh. F., ἀνομίαι L. ed. pr. Ti. 8. δεσπότου L. et edd., patris familias v. p. (-iae), fort. l. οἰκοδεσπότου. 9. 10. πάντα ἔστι καὶ L. et edd., om. v. p. 10. ἐδυνάμην (cf. S. Vis. I, 1. 3. p. 4, 2 al.) Hg.[1], ἠδυνάμην L. ed. pr. Ti. Gh. F. 13. εἴ τι βούλει L. (non ὅ τι) v. (si quid vis) Ti. Gh. F., ὅ τι ed. pr. Hg.[1], om. p. ae. 14. τρόπον L. et edd., τόπον v. p. (ae.) favente Hb.

VI. 15. εἰς L. v. p. Hg.[1] Gh. F., nequaquam in ae., [οὐκ] εἰς ed. pr. Ti. | τρόπον L. v. p. (ae.) et edd., τόπον coniecit Hb. | οὐ κεῖται v. p. (ae.) Hg.[1] Gh. F., κεῖται L. ed. pr. Ti. 20. αὐτῶν v. p. ae. Hg.[1] Gh. F., ἡμῶν L. ed. pr. Ti. 21. ἀμπελὼν v. p. (ae.) (Ang.) Gh. F., om. L. ed. pr. Ti. Hg.[1] | σκαφῆναι v. p. (ae.) (Ang.) Gh. F., σκαφῆσαι L. ed. pr. Ti. Hg.[1] 24. 25. uncis inclusa v. p. Hg.[1], βλ., φ., ὅτι αὐτὸς κύριός ἐστι τοῦ λαοῦ, ἐξουσίαν πᾶσαν λαβὼν π. τ π. α. Gh. F., om. L. ae. propter homoeoteleuton. 27. περὶ v. p. (Ang.) Hg.[1] Gh., παρὰ L. ed. pr. Ti. | κληρονομίας edd., κλη-ρομίας L. 27—p. 85, 2. ἄκουε — ἐβούλετο L. (ubi ἠβούλετο) ed. pr. (ἠβούλ.) Ti. (ἠβούλ.) Hg.[1] Gh. (ἠβούλ.) F. (ἠβούλ.), [qui nuncius] audit (audivit Gh., l. audi) illum spiritum sanctum,

πνεῦμα τὸ ἅγιον τὸ προόν, τὸ κτίσαν πᾶσαν τὴν κτίσιν κατῴκισεν ὁ θεὸς εἰς σάρκα ἣν ἐβούλετο. αὕτη οὖν ἡ σάρξ, ἐν ᾗ κατῴκησε τὸ πνεῦμα τὸ ἅγιον, ἐδούλευσε τῷ πνεύματι καλῶς ἐν σεμνότητι καὶ ἁγνείᾳ πορευθεῖσα, μηδὲ ὅλως μιάνασα τὸ πνεῦμα. [6]πολιτευ- 6
5 σαμένην οὖν αὐτὴν καλῶς καὶ ἁγνῶς καὶ συ[γκ]οπιάσασαν τῷ πνεύματι καὶ συνεργήσασαν, ἐν παντὶ πράγματι ἰσχυρῶς καὶ ἀνδρείως ἀναστραφεῖσαν μετὰ τοῦ πνεύματος τοῦ ἁγίου εἵλατο κοινωνόν· ἤρεσε γὰρ ἡ πορεία τῆς σαρκὸς τα[ύτη]ς, ὅτι οὐκ ἐμιάνθη ἐπὶ τῆς γῆς ἔχουσα τὸ πνεῦμα τὸ ἅγιον. [7]σύμβουλον οὖν ἔλαβε 7
10 τὸν υἱὸν καὶ τοὺς ἀγγέλους τοὺς ἐνδόξους, ἵνα καὶ ἡ σὰρξ αὕτη, δουλεύσασα τῷ [πνεύμα]τι ἀμέμπτως, σχῇ τόπον τινὰ κατασκηνώσεως καὶ μὴ δόξῃ τὸν μισθὸν [τῆς δουλείας αὐτῆς ἀπολέσαι· ἀπολήμψεται γὰρ μισθὸν πᾶσα σὰρξ] ἡ εὑρεθεῖσα ἀμίαντος καὶ ἄσπιλος, ἐν ᾗ τὸ πνεῦμα τὸ ἅγιον κατῴκησεν. [8]ἔχεις καὶ ταύτης τῆς 8
15 παραβολῆς τὴν ἐπίλυσιν'.

VII. ,Ηὐφράνθην', φημί, ,κύριε, ταύτην τὴν ἐπίλυσιν ἀκούσας'. ,Ἄκουε νῦν', φησί· ,τὴν σάρκα σου ταύτην φύλασσε καθαρὰν καὶ ἀμίαντον, ἵνα τὸ πνεῦμα τὸ κατοικοῦν ἐν αὐτῇ μαρτυρήσῃ αὐτῇ, καὶ δικαιωθῇ σου ἡ σάρξ. [2]βλέπε μήποτε ἀναβῇ ἐπὶ τὴν 2
20 καρδίαν σου, τὴν σάρκα σου ταύτην φθαρτὴν εἶναι, καὶ παραχρήσῃ αὐτῇ ἐν μιασμῷ τινί. ἐὰν μιάνῃς τὴν σάρκα σου, μιανεῖς καὶ τὸ πνεῦμα τὸ ἅγιον, ἐὰν δὲ μιάνῃς τὸ πνεῦμα, οὐ ζήσῃ'. [3],Εἰ δέ 3
τις', φημί, ,κύριε, γέγονεν ἄγνοια προτέρα, πρὶν ἀκουσθῶσι τὰ ῥήματα ταῦτα, πῶς σωθῇ ὁ ἄνθρωπος ὁ μιάνας τὴν σάρκα αὐτοῦ';

qui creatus est omnium primus, [in corpore, in quo habitaret] deus collocavit intellectus scilicet (l. in electo) corpore, quod ei videbatur v.; audi: spiritum illum sanctum, qui creatus est omnium purus (l. primus) in corpore, in quo habitaret, deus fundavit atque statuit (in add. Gh.) electum corpus, quod ei placuit p.; audi: Spiritus sanctus, qui omnia creavit, habitavit (κατῴκησεν) in corpore, quod voluit ae. itaque ἐκλεκτὴν post σάρκα p. 85, 2. v. p. (quod voc. defendit Hb.), om. L. ae.

Sim. V, VI. 2. κατῴκησε L. et edd., deductus est v. p. 4. μηδὲ v. (neque) p. (nec) ae. (nec), μηδὲν L. et edd. 5. αὐτὴν L. p. et edd., omni tempore add. v. 6. ἐν παντὶ πράγματι L. et edd., in omni opere, fatigatum corpus illud serviliter conversatum est, sed v., et omni opere fatigatum non succubuisset, sed p. 6. 7. ἰσχυρῶς καὶ ἀνδρείως ἀναστραφεῖσαν μετὰ τοῦ πνεύματος τοῦ ἁγίου L. et edd., fortiter cum spiritu sancto comprobatum deo v., viriliter et fortiter ab eodem conservatum esset, probatum a deo cum spiritu sancto p. equidem nihil addo, sed neminem veto (l. 6 sq.) aliqua addere. 7 sq. εἵλατο κοινωνόν L. et edd., receptum est v. p. 8. ἤρεσε γὰρ L. ed. pr. Ti. Hg.[1], ἤρεσε γὰρ [τῷ θεῷ] Gh. F., placuit enim deo v. p. (domino). 12. 13. uncis inclusa v. (ne videretur mercedem servitutis suae perdidisse, accipiet enim mercedem omne corpus) p. (ne videretur hoc corpus purum ac sine macula sine mercede inveniri) Ang. (τ. δ. α. ἀπολέσαι· πᾶσα γὰρ σὰρξ λήψεται μισθὸν) Hg.[1] (τ. δ. α. ἀπολωλέναι· ἀπολήμψει γὰρ μισθὸν) Gh. (τ. δ. α. ἀπολωλεκέναι· πᾶσα γὰρ σὰρξ ἀπολήψεται μισθὸν) F. (ut Gh.), om. L. ed. pr. Ti.

VII. 21. ἐὰν L. p. ae. ed. pr. Ti. Hg.[1], ἐὰν γὰρ v. Gh. F. 22. τὸ πνεῦμα Gh. F., τὸ πνεῦμα τὸ ἅγιον proposuit Ang., τὴν σάρκα L. v. p. (ae.), τὴν σάρκα καὶ τὸ πνεῦμα (σου) Hg.[1]

,Περὶ τῶν προτέρων', φησίν, ,ἀγνοημάτων τῷ θεῷ μόνῳ δυνατὸν
4 ἴασιν δοῦναι· αὐτοῦ γάρ ἐστι πᾶσα ἐξουσία. [4][ἀλλὰ νῦν φύλασσε σεαυτόν, καὶ ὁ κύριος ὁ παντοκράτωρ πολύσπλαγχνος ὤν, τοῖς προτέροις ἀγνοήμασιν ἴασιν δώσει], ἐὰν τὸ λοιπὸν μὴ μιάνῃς σου τὴν σάρκα μηδὲ τὸ πνεῦμα· ἀμφότερα γὰρ κοινά ἐστι καὶ ἄτερ ἀλλήλων μιανθῆναι οὐ δύναται. ἀμφότερα οὖν καθαρὰ φύλασσε, καὶ ζήσῃ τῷ θεῷ'.

Παραβολὴ ς'.

1 I. Καθήμενος ἐν τῷ οἴκῳ μου καὶ δοξάζων τὸν κύριον περὶ πάντων ὧν ἑωράκειν καὶ συζητῶν περὶ τῶν ἐντολῶν, ὅτι καλαὶ καὶ δυναταὶ καὶ ἔνδοξοι καὶ ἱλαραὶ καὶ δυνάμεναι σῶσαι ψυχὴν ἀνθρώπου, ἔλεγον ἐν ἐμαυτῷ ,Μακάριος ἔσομαι, ἐὰν ταῖς ἐντολαῖς ταύταις πορευθῶ, καὶ ὃς ἂν ταύταις πορευθῇ, μακάριος ἔσται'.
2 [2]ὡς ταῦτα ἐν ἐμαυτῷ ἐλάλουν, βλέπω αὐτὸν ἐξαίφνης παρακαθήμενόν μοι καὶ λέγοντα ταῦτα ,Τί διψυχεῖς περὶ τῶν ἐντολῶν ὧν σοι ἐνετειλάμην; καλαί εἰσιν. ὅλως μὴ διψυχήσῃς, ἀλλ' ἔνδυσαι τὴν πίστιν τοῦ κυρίου καὶ ἐν αὐταῖς πορεύσῃ· ἐγὼ γάρ σε ἐνδυ-
3 ναμώσω ἐν αὐταῖς. [3]αὗται αἱ ἐντολαὶ σύμφοροί εἰσι τοῖς μέλλουσι μετανοεῖν· ἐὰν γὰρ μὴ πορευθῶσιν ἐν αὐταῖς, εἰς μάτην ἐστὶν ἡ
4 μετάνοια αὐτῶν. [4]οἱ οὖν μετανοοῦντες ἀποβάλλετε τὰς πονηρίας τοῦ αἰῶνος τούτου τὰς ἐκτριβούσας ὑμᾶς· ἐνδυσάμενοι δὲ πᾶσαν ἀρετὴν δικαιοσύνης δυνήσεσθε τηρῆσαι τὰς ἐντολὰς ταύτας καὶ

Sim. VI, p. 87, 6—p. 92, 17. Pseudo-Athanasius ad Antiochum c. 18. 19 p. 33 sq.: Ἦλθον εἰς πεδίον καὶ δείκνυσί μοι ποιμένα νεανίσκον ἐνδεδυμένον σύνθεσιν ἱματίων κροκαίων, βόσκοντα πρόβατα πολλὰ λίαν, καὶ τὰ πρόβατα ταῦτα ἦν ὡσεὶ τρυφῶντα καὶ λίαν σπαταλῶντα καὶ ἱλαρά, σκιρτῶντα ὧδε κἀκεῖ, καὶ αὐτὸς ὁ ποιμὴν πάνυ ἱλαρὸς ἐπὶ τῷ ποιμνίῳ αὐτῷ (l. αὐτοῦ) ἦν καὶ περιέτρεχε τὰ πρόβατα. καὶ ἄλλα πρόβατα εἶδον σπαταλῶντα καὶ τρυφῶντα ἐν τόπῳ ἑνί, οὐ μέντοι σκιρτῶντα. καὶ λέγει μοι Βλέπεις τὸν ποιμένα τοῦτον; Βλέπω, φημί, κύριε. Οὗτος, φησίν, ἄγγελος τρυφῆς καὶ ἀπάτης ἐστίν. οὗτος ἐκτρίβει τὰς ψυχὰς τῶν δούλων τοῦ θεοῦ καὶ καταστρέφει ἀπὸ τῆς ἀληθείας, ἀπατῶν αὐτὰς ταῖς ἐπιθυμίαις ταῖς πονηραῖς, ἐν αἷς ἀπόλλυνται ἐπιλανθανόμενοι τῶν ἐντολῶν τοῦ θεοῦ τοῦ ζῶντος καὶ πορευόμενοι ταῖς ματαίαις τρυφαῖς

Sim. V, VII. 1—3. uncis inclusa v. (sed nunc custodi te, et cum sit dominus omnipotens et misericors, prioribus admissis remedium dabit) p. (sed custodi nunc te, et misericors dominus fortasse prioribus delictis remedium dabit) ae. (sed nunc custodi te) Hg.[1] (ἀλλὰ φύλαξαι νῦν, καὶ ὁ παντοδύναμος καὶ πολύσπλαγχνος θεὸς τὰς προτέρας ἁμαρτίας ἰάσεται) Gh. (ἀλλὰ νῦν φύλασσε σεαυτόν, καὶ ὁ κύριος ὁ παντοκράτωρ, πολύσπλαγχνος ὤν, περὶ τῶν προτέρων ἀγνοημάτων ἴασιν δώσει) F. (ut Gh.), om. L.
Sim. VI, I. 8. Παραβολὴ ς' v. p. ed. pr. Hg.[1] Gh. F., ἀρχὴ L. Ti., om. ae. 11. ἔνδοξοι καὶ ἱλαραί v. p., ἱλαραὶ καὶ ἔνδοξοι L. et edd. (καὶ ἱλαραὶ errore om. Hg.[1]). 20. ἀποβάλλετε L. (Ti. Gh.) Ti. Hg.[1] Gh. F., ἀποβάλετε L. (prima manu correctus) ed. pr.

μηκέτι προστιθέναι ταῖς ἁμαρτίαις ὑμῶν. [μηδὲν οὖν προστιθέν-
τες τὸ πλεῖστον τῶν προτέρων ἀποκόψετε]. πορεύεσθε οὖν ταῖς
ἐντολαῖς μου ταύταις καὶ ζήσεσθε τῷ θεῷ. ταῦτα παρ' ἐμοῦ λε-
λάληται ὑμῖν'. 5 καὶ μετὰ τὸ ταῦτα λαλῆσαι αὐτὸν μετ' ἐμοῦ λέγει 5
5 μοι ,Ἄγωμεν εἰς ἀγρόν, καὶ δείξω σοι τοὺς ποιμένας τῶν προβά-
των'. ,Ἄγωμεν', φημί, ,κύριε'. καὶ ἤλθομεν εἴς τι πεδίον καὶ
δεικνύει μοι ποιμένα νεανίσκον ἐνδεδυμένον σύνθεσιν ἱματίων τῷ
χρώματι κροκώδη. 6 ἔβοσκε δὲ πρόβατα πολλὰ λίαν, καὶ τὰ πρό- 6
βατα ταῦτα ὡσεὶ τρυφῶντα ἦν καὶ λίαν σπαταλῶντα καὶ ἱλαρὰ ἦν
10 σκιρτῶντα ὧδε κἀκεῖσε· καὶ αὐτὸς ὁ ποιμὴν πάνυ ἱλαρὸς ἦν ἐπὶ
τῷ ποιμνίῳ αὐτοῦ· καὶ αὐτὴ ἡ ἰδέα τοῦ ποιμένος ἱλαρὰ ἦν λίαν,
καὶ ἐν τοῖς προβάτοις περιέτρεχε. [καὶ ἄλλα πρόβατα εἶδον
σπαταλῶντα καὶ τρυφῶντα ἐν τόπῳ ἑνί, οὐ μέντοι σκιρτῶντα].

II. Καὶ λέγει μοι ,Βλέπεις τὸν ποιμένα τοῦτον'; ,Βλέπω', 1
15 φημί, ,κύριε'. ,Οὗτος', φησίν, ,ἄγγελος τρυφῆς καὶ ἀπάτης ἐστίν.
οὗτος ἐκτρίβει τὰς ψυχὰς τῶν δούλων τοῦ θεοῦ τῶν κενῶν καὶ
καταστρέφει αὐτοὺς ἀπὸ τῆς ἀληθείας, ἀπατῶν αὐτοὺς ταῖς ἐπι-
θυμίαις ταῖς πονηραῖς, ἐν αἷς ἀπόλλυνται. 2 ἐπιλανθάνονται γὰρ 2
τῶν ἐντολῶν τοῦ θεοῦ τοῦ ζῶντος καὶ πορεύονται ἀπάταις καὶ
20 τρυφαῖς ματαίαις καὶ ἀπόλλυνται ὑπὸ τοῦ ἀγγέλου τούτου, τινὰ
μὲν εἰς θάνατον, τινὰ δὲ εἰς καταφθοράν'. 3 λέγω αὐτῷ, Κύριε, οὐ 3

καὶ ἀπάταις τοῦ βίου τούτου. διὸ καὶ ἀπόλλυνται ὑπὸ τοῦ ἀγγέλου τούτου εἰς θάνατον καὶ καταφθοράν. λέγω αὐτῷ Οὐ γινώσκω, κύριε, τί ἔστιν εἰς θάνατον καὶ καταφθοράν. καὶ λέγει μοι Ἄκουε, φησίν, ἃ εἶδες πρόβατα ἱλαρὰ καὶ σκιρτῶντα, οὗτοί εἰσιν οἱ ἀπεσπασμένοι ἀπὸ τοῦ θεοῦ εἰς τέλος καὶ παραδεδωκότες ἑαυτοὺς ταῖς ἐπιθυμίαις τοῦ αἰῶνος τούτου. ἐν τούτοις οὖν μετάνοια ζωῆς οὐκ ἔστιν, ὅτι καὶ τὸ ὄνομα τοῦ θεοῦ δι' αὐτοὺς βλασφημεῖται. τῶν τοιούτων ἡ ζωὴ θάνατός ἐστιν. ἃ δὲ εἶδες μὴ σκιρτῶντα, ἀλλὰ καὶ ἐν τόπῳ (add. ἑνὶ) βοσκόμενα, οὗτοί εἰσιν οἱ παραδεδωκότες μὲν τῇ τρυφῇ καὶ ἀπάτῃ ἑαυτούς, εἰς δὲ τὸν κύριον μὴ βλασφημήσαντες. οὗτοι οὖν κατεφθαρμένοι εἰσὶν ἀπὸ τῆς ἀληθείας. ἐν τούτοις ἐλπίς ἐστιν μετανοίας, ἐν ᾗ δύνανται ζῆσαι. ἡ καταφθορὰ οὖν ἐλπίδα ἔχει ἀναστάσεως ἕως τινός, ὁ δὲ θάνατος ἀπώλειαν ἔχει αἰώνιον.

19. πάλιν προέβημεν μικρόν, καὶ δείκνυσί μοι ἕτερον ποιμένα μέγαν, ὡς ἄγριον τῇ ἰδέᾳ, περικείμενον δέρμα αἴγειον λευκόν, καὶ πήραν τινὰ εἶχεν ἐπὶ

Sim. VI, I. 1. uncis inclusa v. (nihil ergo adicientes plurimum ex prioribus recidetis) p. (nihil igitur adicientes exceditis [l. excidetis] a prioribus peccatis), ἐὰν οὖν μηκέτι μηδὲν προσθῆτε, ἀποστήσεσθε ἀπὸ τῶν προτέρων ἁμαρτιῶν ὑμῶν Gh. F., neque amplius peccetis ae., om. L. ed. pr. Ti. Hg.[1] 3. ταῦτα v. p., ταῦτα πάντα L. et edd. 5. Ἄγωμεν v. p. (ae.) et edd., ἄγομεν L. 10. πάνυ Ps.-Ath., v. (vehementer) p. (magnam) Gh. F., om. L. ed. pr. Ti. Hg.[1] 11. αὐτὴ Gh. F., αὕτη L. ed. pr. Ti. Hg.[1]. om. v. p. 12. 13. uncis inclusa (cf. c. II. p. 88, 7 sq. 89, 1 sq.) Ps.-Ath. (Ang.) Hg.[1] Gh. F., om. L. v. p. ae. ed. pr. Ti.
II. 16. τῶν κενῶν L. ed. pr. Ti. Hb., om. Ps.-Ath. v. p. ae. Hg.[1] Gh. F. dei servi vani offendebant. 20. ἀπόλλυνται Ps.-Ath. v. p. Gh. F., ἀπλοῦνται L., ἀπολοῦνται ed. pr. Ti. Hg.[1], om. ae. 20. 21. τινὰ (bis) L. et edd., τινὲς legendum visum est Ang. Gh.

γινώσκω ἐγώ, τί ἔστιν εἰς θάνατον, καὶ τί εἰς καταφθοράν‘. ‚Ἄκουε‘, φησίν· ‚ἃ εἶδες πρόβατα ἱλαρὰ καὶ σκιρτῶντα, οὗτοί εἰσιν οἱ ἀπεσπασμένοι ἀπὸ τοῦ θεοῦ εἰς τέλος καὶ παραδεδωκότες ἑαυτοὺς [ταῖς ἐπιθυμίαις τοῦ αἰῶνος τούτου. ἐν τούτοις οὖν μετάνοια ζωῆς οὐκ ἔστιν, ὅτι προσέθηκαν ταῖς ἄλλαις ἁμαρτίαις αὐτῶν καὶ εἰς τὸ ὄνομα τοῦ κυρίου ἐβλασφήμησαν. τοιοῦτοι οὖν ἄνθρωποί εἰσιν εἰς θάνατον. [4] ἃ δὲ εἶδες πρόβατα μὴ σκιρτῶντα, ἀλλ᾽ ἐν τόπῳ ἑνὶ βοσκόμενα, οὗτοί εἰσιν οἱ παραδεδωκότες μὲν ἑαυτοὺς] ταῖς τρυφαῖς καὶ ἀπάταις, εἰς δὲ τὸν κύριον οὐδὲν ἐβλασφήμησαν. οὗτοι οὖν κατεφθαρμένοι εἰσὶν ἀπὸ τῆς ἀληθείας. ἐν τούτοις ἐλπίς ἐστι μετανοίας, ἐν ᾗ δύνανται ζῆσαι. ἡ καταφθορὰ οὖν ἐλπίδα ἔχει ἀνανεώσεώς τινος, ὁ δὲ θάνατος ἀπώλειαν ἔχει αἰώνιον‘. [5] πάλιν προέβημεν μικρόν, καὶ δεικνύει μοι ποιμένα μέγαν ὡσεὶ ἄγριον τῇ ἰδέᾳ, περικείμενον δέρμα αἴγειον λευκόν, καὶ πήραν τινὰ εἶχεν ἐπὶ τῶν ὤμων καὶ ῥάβδον σκληρὰν λίαν καὶ ὄζους ἔχουσαν καὶ μάστιγα μεγάλην· καὶ τὸ βλέμμα εἶχε περίπικρον ὥστε φοβηθῆναί με αὐτόν· τοιοῦτον εἶχε τὸ βλέμμα. [6] οὗτος

τὸν ὦμον (l. τῶν ὤμων) καὶ ῥάβδον σκληρὰν λίαν καὶ ὄζους ἔχουσαν, καὶ τὸ βλέμμα εἶχεν πικρόν, ὥστε φοβηθῆναί με αὐτόν. οὗτος οὖν ὁ ποιμὴν παρελάμβανε τὰ πρόβατα ἀπὸ τοῦ ποιμένος τοῦ πρώτου τοῦ νεανίσκου, ἐκεῖνα τὰ σπαταλῶντα καὶ τρυφῶντα, μὴ σκιρτῶντα δέ, καὶ ἔβαλλεν αὐτὰ εἴς τινα τόπον κρημνώδη καὶ ἀκανθώδη καὶ τριβολώδη, ὥστε ἀπὸ τῶ ἀκανθῶν καὶ τριβόλων μὴ δύνασθαι ἐκπλέξαι τὰ πρόβατα, ἀλλ᾽ ἐμπλέκεσθαι ταῖς ἀκάνθαις καὶ τριβόλοις, καὶ λίαν ἐταλαιπώρουν δαιρόμενα ὑπ᾽ αὐτοῦ. καὶ ὧδε κἀκεῖ περιήλαυνεν αὐτά, καὶ ὅλως ἀνάπαυσιν αὐτοῖς οὐκ ἐδίδου, οὐδὲ ἵσταντο.

Sim. VI, II. 4—9. uncis inclusa Ps.-Ath. v. (desideriis huius seculi. his ergo non est per poenitentiam regressus ad vitam, quoniam quidem adiecerunt ad reliqua delicta sua et nomen domini nefandis insecuti sunt verbis. huiusmodi homines morti sunt destinati. quae vero vidisti pecora non exultantia, sed uno loco vescentia, hi sunt qui tradiderunt se quidem) p. (voluptatibus seculi huius. his ergo non est locus per poenitentiam regrediendi ad vitam. adiecerant enim ad alia delicta sua etiam aliud maius, ut domini nomen nefandis insequerentur blasphemiis. huiusmodi ergo homines morti sunt destinati. nam pecora quae vidisti non exultantia, sed uno loco vescentia, hi sunt qui tradiderunt se quidem) ae. (ii qui semet impuritati huius mundi tradiderunt, nec poenitentiam inveniunt, qua salventur, quia blasphemaverunt nomen domini, hi in morte sunt, illae autem [sc. oves], quae non exsultant et in uno loco pascuntur, ii sunt qui semet voluptati tradiderunt) Hg.[1] (post ταῖς τρυφαῖς καὶ ἀπάταις l. 9; l. 6. om. εἰς; l. 7 scripsit κεῖνται pro εἰσιν, l. 9 τῇ τρυφῇ καὶ ἀπάτῃ post ἑαυτούς) Gh. (l. 5. προσέθηκαν γὰρ pro ὅτι πρ., l. 6. 7. τῶν τοιούτων οὖν ὁ θάνατος ἐστίν) F. (ut Gh.), om. L. (propter homoeotel.) ed. pr. Ti. 10. κατεφθαρμένοι L. v. p. (ae.) Hg.[1] Gh. F., (οὐ) κατεφθαρμένοι ed. pr. Ti. 13. προέβημεν Ps.-Ath. v. p. Gh. F., προέβην L. ed. pr. Ti. Hg.[1] 14. αἴγειον (cf. Vis. V, p. 32, 6) Ps.-Ath. v. p. ae. Hg.[1] Gh. F., ἄγριον L. ed. pr. Ti. 15. τῶν ὤμων L. ae. et edd., τὸν ὦμον Ps.-Ath. v. p. 16. ὄζους Ps.-Ath. v. p. Hg.[1] Gh. F., ῥόζους L. ed. pr. Ti. 16 sq. περίπικρον L. et edd., πικρὸν Ps.-Ath., amarum et saevum v. p. (saevumque), et saevus aspectus eius, et terribilis facies eius ae., περίπικρον καὶ ἄγριον Hb., περίπ. κ. δεινὸν suspicatur Gh.

οὖν ὁ ποιμὴν παρελάμβανε τὰ πρόβατα ἀπὸ τοῦ ποιμένος τοῦ νεανίσκου, ἐκεῖνα τὰ σπαταλῶντα καὶ τρυφῶντα, μὴ σκιρτῶντα δέ, καὶ ἔβαλεν αὐτὰ εἴς τινα τόπον κρημνώδη καὶ ἀκανθώδη [καὶ τριβολώδη], ὥστε ἀπὸ τῶν ἀκανθῶν καὶ τριβόλων μὴ δύνασθαι
5 ἐκπλέξαι τὰ πρόβατα, ἀλλ' ἐμπλέκεσθαι εἰς τὰς ἀκάνθας καὶ τριβόλους. [7]ταῦτα οὖν ἐμπεπλεγμένα ἐβόσκοντο ἐν ταῖς ἀκάνθαις 7 καὶ τριβόλοις καὶ λίαν ἐταλαιπώρουν δαιρόμενα ὑπ' αὐτοῦ. καὶ ὧδε κἀκεῖσε περιήλαυνεν αὐτὰ καὶ ἀνάπαυσιν αὐτοῖς οὐκ ἐδίδου, καὶ ὅλως οὐκ εὐσταθοῦσαν τὰ πρόβατα ἐκεῖνα. III. βλέπων 1
10 οὖν αὐτὰ οὕτω μαστιγούμενα καὶ ταλαιπωρούμενα ἐλυπούμην ἐπ' αὐτοῖς, ὅτι οὕτως ἐβασανίζοντο καὶ ἀνοχὴν ὅλως οὐκ εἶχον. [2]λέγω τῷ ποιμένι τῷ μετ' ἐμοῦ λαλοῦντι ,Κύριε, τίς ἐστιν οὗτος 2 ὁ ποιμὴν ὁ οὕτως ἄσπλαγχνος καὶ πικρὸς καὶ ὅλως μὴ σπλαγχνιζόμενος ἐπὶ τὰ πρόβατα ταῦτα'; ,Οὗτος', φησίν, ,ἐστὶν ὁ ἄγγελος
15 τῆς τιμωρίας· ἐκ δὲ τῶν ἀγγέλων τῶν δικαίων ἐστί, κείμενος δὲ ἐπὶ τῆς τιμωρίας. [3]παραλαμβάνει οὖν τοὺς ἀποπλανωμένους ἀπὸ 3 τοῦ θεοῦ καὶ πορευθέντας ταῖς ἐπιθυμίαις καὶ ἀπάταις τοῦ αἰῶνος τούτου καὶ τιμωρεῖ αὐτούς, καθὼς ἄξιοί εἰσι, δειναῖς καὶ ποικίλαις τιμωρίαις'. [4],Ἤθελον', φημί, ,κύριε, γνῶναι τὰς ποικίλας βασάνους 4
20 ταύτας [καὶ] τιμωρίας, ποταπαί εἰσιν'. ,Ἄκουε', φησί, ,τὰς ποικίλας βασάνους καὶ τιμωρίας. βιωτικαί εἰσιν αἱ βάσανοι· τιμωροῦνται γὰρ οἱ μὲν ζημίαις, οἱ δὲ ὑστερήσεσιν, οἱ δὲ ἀσθενείαις ποικίλαις, οἱ δὲ πάσῃ ἀκαταστασίᾳ, οἱ δὲ ὑβριζόμενοι ὑπὸ ἀναξίων καὶ ἑτέραις πολλαῖς πράξεσι πάσχοντες· [5]πολλοὶ γὰρ ἀκαταστα- 5
25 τοῦντες ταῖς βουλαῖς αὐτῶν ἐπιβάλλονται πολλά, καὶ οὐδὲν αὐτοῖς ὅλως προχωρεῖ. καὶ λέγουσιν ἑαυτοὺς μὴ εὐοδοῦσθαι ἐν ταῖς πράξεσιν αὐτῶν, καὶ οὐκ ἀναβαίνει αὐτῶν ἐπὶ τὴν καρδίαν ὅτι

βλέπων οὖν αὐτὰ οὕτως μαστιζόμενα καὶ ταλαιπωροῦντα ἐλυπούμην ἐπ' αὐτοῖς, ὅτι οὕτως ἐβασανίζοντο καὶ ἀνοχὴν ὅλως οὐκ εἶχον. καὶ λέγω τῷ ἀγγέλῳ τῷ μετ' ἐμοῦ λαλοῦντι Κύριε, τίς ἐστιν οὗτος ὁ ποιμὴν ὁ ἄσπλαγχνος καὶ πικρός; καὶ λέγει μοι Οὗτός ἐστιν ὁ ἄγγελος τῆς τιμωρίας· ἐκ δὲ τῶν ἀγγέλων τῶν δικαίων ἐστί, τεταγμένος δὲ ἐπὶ τῆς τιμωρίας. παραλαμβάνει οὖν

Sim. VI, III. 14 sq. Origenes Hom. I, 1 in Psalm. XXXVII (Opp. II, 681): quemadmodum describitur in quodam loco angelus poenitentiae, qui nos suscipit castigandos, sicut Pastor exponit, si cui tamen libellus ille recipiendus videtur.

Sim. VI, II. 3. ἔβαλεν L. Ti. Hg.[1] Gh. F., ἔβαλλεν Ps.-Ath. ed. pr., compellebat v. p. ae., itaque ἐβιάσατο vel tale aliquid coniecit Hb. 3. 4. καὶ τριβολώδη Ps.-Ath. v. p. ae. Hg.[1] Gh. F., om. L. ed. pr. Ti. 7. δαιρόμενα L. Ps.-Ath. Hg.[1] Gh. F., δερόμενα ed. pr. Ti. 9. καὶ ὅλως — ἐκεῖνα L. et edd., οὐδὲ ἵσταντο Ps.-Ath., om. v. p. ae.

III. 15. τῶν ἀγγέλων τῶν δικαίων Ps.-Ath. Hg.[1] Gh. F., τῶν δικαίων τῶν ἀγγέλων L. ed. pr. Ti. 19. 20. τὰς ποικίλας βασάνους ταύτας [καὶ] τιμωρίας ed. pr. Ti. Hg.[1], τ. ποικ. βασ. ταυτας τιμωρίας L., qualis sit hic cruciatus, castigationes variae ae., varias has poenas v. p. (poen. has), τὰς ποικίλας ταύτας τιμωρίας Gh. F. (sed cf. l. 21).

6 ἔπραξαν πονηρὰ ἔργα, ἀλλ' αἰτιῶνται τὸν κύριον. [6]ὅταν οὖν θλιβῶσι πάσῃ θλίψει, τότε ἐμοὶ παραδίδονται εἰς ἀγαθὴν παιδείαν καὶ ἰσχυροποιοῦνται ἐν τῇ πίστει τοῦ κυρίου καὶ τὰς λοιπὰς ἡμέρας τῆς ζωῆς αὐτῶν δουλεύουσι τῷ κυρίῳ ἐν καθαρᾷ καρδίᾳ. [ἐὰν δὲ μετανοήσωσι, τότε ἀναβαίνει ἐπὶ τὴν καρδίαν αὐτῶν ἃ ἔπραξαν πονηρὰ ἔργα, καὶ τότε δοξάζουσι τὸν θεὸν λέγοντες ὅτι δίκαιος κριτής ἐστι, καὶ δικαίως πάντα ἔπαθον κατὰ τὰς πράξεις αὐτῶν ἕκαστος, τὸ δὲ λοιπὸν δουλεύουσι τῷ κυρίῳ ἐν καθαρᾷ καρδίᾳ] καὶ εὐοδοῦνται ἐν πάσῃ πράξει αὐτῶν, λαμβάνοντες παρὰ τοῦ κυρίου πάντα ὅσα ἂν αἰτῶνται, καὶ τότε δοξάζουσι τὸν κύριον, ὅτι ἐμοὶ παρεδόθησαν καὶ οὐκέτι οὐδὲν πάσχουσι τῶν πονηρῶν'.

1 IV. Λέγω αὐτῷ ,Κύριε, ἔτι μοι τοῦτο δήλωσον'. ,Τί', φησίν, ,ἐπιζητεῖς'; ,Εἰ ἄρα', φημί, ,κύριε, τὸν αὐτὸν χρόνον βασανίζονται οἱ τρυφῶντες καὶ ἀπατώμενοι, ὅσον τρυφῶσι καὶ ἀπατῶνται'; 2 λέγει μοι ,Τὸν αὐτὸν χρόνον βασανίζονται'. [2][,'Ελάχιστον', φημί, κύριε, βασανίζονται]. ἔδει γὰρ τοὺς οὕτω τρυφῶντας καὶ ἐπιλαν-3 θανομένους τοῦ θεοῦ ἑπταπλασίως βασανίζεσθαι. [3]λέγει μοι

τοὺς ἀποπλανηθέντας ἀπὸ τοῦ θεοῦ καὶ πορευθέντας ταῖς ἐπιθυμίαις αὐτῶν καὶ τιμωρεῖται αὐτούς, καθὼς ἄξιοί εἰσι, δειναῖς καὶ ποικίλαις τιμωρίαις. λέγω αὐτῷ Ἤθελον γνῶναι, κύριε, τὰς ποικίλας ταύτας τιμωρίας, ποταπαί εἰσιν. Ἄκουε, φησίν, αἱ ποικίλαι τιμωρίαι καὶ βάσανοι βιωτικαί εἰσι βάσανοι· ἐπὰν γὰρ ἀποστῶσι τοῦ θεοῦ νομίζοντες ἐν ἀναπαύσει εἶναι καὶ πλούτῳ, τότε τιμωροῦνται οἱ μὲν ζημιούμενοι, οἱ δὲ ὑστερούμενοι, οἱ δὲ ἀσθενείαις ποικίλαις περιπίπτοντες, ἄλλοι ἐν ἀκαταστασίαις, ἕτεροι ὑβριζόμενοι ὑπὸ ἐλαττόνων, καὶ ἑτέραις ποικίλαις πράξεσι. πολλοὶ γὰρ ἀκαταστατοῦντες ἐν ταῖς βουλαῖς αὐτῶν ἐπιβάλλονται εἰς πολλὰ πράγματα, καὶ οὐδὲν αὐτοῖς ὅλως ὑποβαίνει, καὶ δυσχεραίνουσιν καὶ οὐ γινώσκουσιν ὅτι διὰ τὰ πονηρὰ ἃ ἔπραξαν οὐκ εὐοδοῦνται, καὶ λοιπὸν αἰτιῶνται τὸν κύριον καὶ οὐκ ἀνέχονται τὰς λοιπὰς ἡμέρας αὐτῶν

Sim. VI, III. 1. ἔργα L. et edd., om. v. p. ae. Ps.-Ath., fort. delendum. | ἀλλ' L. et edd., et v., καὶ λοιπὸν Ps.-Ath., adhuc et p., ἀλλ' ἔτι Hb. 2. πάσῃ θλίψει L. et edd., omnem vexationem et incommodum v. p., πάσῃ θλίψει καὶ σύμφορᾷ (ego praefero βλάβῃ) coniecit Gh. 4—7. uncis inclusa Ps.-Ath. v. (et cum coeperint delictorum agere poenitentiam, tunc ascendent in praecordiis eorum opera sua, in quibus se nequiter gesserunt, et tunc dant deo honorem dicentes iustum eum iudicem esse, meritoque se omnia esse passos secundum facta sua, scilicet quisque eorum. in reliquum vero serviunt domino mente pura) p. (cum coeperint delictorum agere poenitentiam, tunc ascendit in praecordiis opera sua, in quibus nequiter gesserunt, et tunc deo dant honorem dicentes iustum eum iudicem esse, meritoque se omnia passos secundum sua unusquisque facta. in reliquo vero serviunt domino mente pura) Hg. in Herma lat. p. X (fere secundum Ps.-Ath.) Gh. (l 5. 6 τὰ ἔργα ἃ ἔπραξαν πονηρά, l. 7. 8 ἕκαστος κατὰ τὰς πράξεις αὐτοῦ. δουλεύουσι δὲ λοιπὸν) F. (ut Gh.), αὐτῶν L. ed. pr. Ti. Hg.[1]

IV. 16. χρόνον L. v. p. ed. pr. Ti. Gh. F., τρόπον errore Hg.[1] 16. 17. uncis inclusa v. (et dixi ei: Exiguum, inquam, cruciantur) p. (et dixi: Multum exiguum, domine, cruciantur) Hg.[1] (Πολὺ ἔλασσον κτλ.) Hb. Gh. F., om. L. (propter homoetel.) ed. pr. Ti.

,Ἄφρων εἶ καὶ οὐ νοεῖς τῆς βασάνου τὴν δύναμιν'. ,Εἰ γὰρ ἐνόουν', φημί, ,κύριε, οὐκ ἂν ἐπηρώτων ἵνα μοι δηλώσῃς'. ,Ἄκουε', φησίν, ,ἀμφοτέρων τὴν δύναμιν. [4] τῆς τρυφῆς καὶ ἀπάτης ὁ χρόνος ὥρα ἐστὶ μία· τῆς δὲ βασάνου ἡ ὥρα τριάκοντα ἡμερῶν δύναμιν ἔχει. ἐὰν οὖν μίαν ἡμέραν τρυφήσῃ τις καὶ ἀπατηθῇ, μίαν δὲ ἡμέραν βασανισθῇ, ὅλον ἐνιαυτὸν ἰσχύει ἡ ἡμέρα τῆς βασάνου. ὅσας οὖν ἡμέρας τρυφήσει τις, τοσούτους ἐνιαυτοὺς βασανίζεται. βλέπεις οὖν', φησίν, ,ὅτι τῆς τρυφῆς καὶ ἀπάτης ὁ χρόνος ἐλάχιστός ἐστι, τῆς δὲ τιμωρίας καὶ βασάνου πολύς'. V. [1] ,Ἔτι', φημί, ,κύριε, οὐ νενόηκα ὅλως περὶ τοῦ χρόνου τῆς ἀπάτης καὶ τρυφῆς καὶ βασάνου· τηλαυγέστερόν μοι δήλωσον'. [2] ἀποκριθείς μοι λέγει· ,Ἡ ἀφροσύνη σου παράμονός ἐστι, καὶ οὐ θέλεις σου τὴν καρδίαν καθαρίσαι καὶ δουλεύειν τῷ θεῷ'. ,βλέπε', φησί, ,μήποτε ὁ χρόνος πληρωθῇ, καὶ σὺ ἄφρων εὑρεθῇς. ἄκουε οὖν', φησί, ,καθὼς βούλει, ἵνα νοήσῃς αὐτά. [3] ὁ τρυφῶν καὶ ἀπατώ[μενος] μίαν ἡμέραν καὶ πράσσων ἃ βούλεται πολλὴν ἀφροσύνην ἐνδέδυται καὶ οὐ νοεῖ τὴν πρᾶξιν, ἣν ποιεῖ εἰς τὴν αὔριον· ἐπιλανθά[νεται] γὰρ τί πρὸ μιᾶς ἔπραξεν· ἡ γὰρ τρυφὴ καὶ ἀπάτη μνήμας οὐκ ἔχει διὰ τὴν ἀφροσύνην ἣν ἐνδέδυται, ἡ δὲ τιμωρία καὶ ἡ βάσανος ὅταν κολληθῇ τῷ ἀνθρώπῳ μίαν ἡμέραν, μέχρις ἐνιαυτοῦ τιμωρεῖται καὶ βασανίζεται· μνήμας γὰρ μεγάλας ἔχει ἡ τιμωρία καὶ ἡ βάσανος. [4] βασανιζόμενος οὖν καὶ τιμωρούμενος ὅλον τὸν ἐνιαυτόν, μνημονεύει τότε τῆς τρυφῆς καὶ ἀπάτης καὶ γινώσκει ὅ[τι δι'] αὐτὰ πάσχει τὰ πονηρά. πᾶς οὖν ἄνθρωπος ὁ

ἐπιστρέψαντες δουλεῦσαι τῷ θεῷ ἐν καθαρᾷ καρδίᾳ. ἂν δὲ μετανοήσωσι καὶ ἀνανήψωσι, τότε συνίουσιν ὅτι διὰ τὰ ἔργα αὐτῶν τὰ πονηρὰ οὐκ εὐωδοῦντο, καὶ δοξάζουσι τὸν κύριον, ὅτι δίκαιος κριτής ἐστι καὶ δικαίως ἔπαθον καὶ ἐπαιδεύθησαν κατὰ τὰς πράξεις αὐτῶν. ἄκουε οὖν ἀμφοτέρων τὴν δύναμιν, τῆς τρυφῆς καὶ τῆς βασάνου. τῆς τρυφῆς καὶ τῆς ἀπάτης ὁ χρόνος ὥρα ἐστὶ μία, τῆς δὲ βασάνου ὧραι τριάκοντα, ἡμερῶν δύναμιν ἔχουσαι. ἐὰν οὖν μίαν ἡμέραν τις τρυφήσῃ καὶ ἀπατηθῇ, μίαν δὲ ἡμέραν βασανισθῇ, ἐνιαυτοῦ ὁλοκλήρου

Sim. VI, IV. 19 sq. Origenes Hom. VIII in Num. (Opp. II, 924): quod autem dies peccati in annum poenae reputetur, non solum in hoc libro, in quo nihil omnino est quod dubitrai possit, ostenditur, sed et in libello Pastoris, si cui tamen scriptura illa recipienda videtur, similia designantur.

Sim. VI, IV. 4. τριάκοντα Hg.[1], λ' L. ed. pr. Ti. Gh. F. 7. τρυφήσει L. Ps.-Ath. ed. pr. Ti. Hg.[1], τρυφήσῃ Gh. F. V. 9. ἔτι L. et edd., ὅτι v. p. ae. 13. καθαρίσαι edd., καθαρῆσαι L. 14. οὖν L. et edd., νῦν v. p. ae. 15. βούλει L. (ut videtur) Ti. Hg.[1] Gh. F., βούλῃ ed. pr. 17. εἰς τὴν αὔριον· non ante haec verba (v. p. ae. Gh. F.), sed post ea (ed. pr. Ti. Hg.[1]) interpungendum est. 18. γὰρ Hb. ante εἰς l. 17 posuit, Gh. delendum esse censuit, καὶ posito ante εἰς. modo recte interpungas. 23. τότε v. p. ae. Gh. (in notis) F., ποτὲ L. ed. pr. Ti. Hg.[1] Gh. 24. αὐτὰ L. et edd., propterea v. p., αὐτὰς Hg.[1] (p. 176).

τρυφῶν καὶ ἀπατώμενος οὕτω βασανίζεται, ὅτι ἔχοντες ζωὴν εἰς
5 θάνατον ἑαυτοὺς παραδεδώκασι'. 5 ,Ποῖαι', φημί, ,κύριε, τρυφαί
εἰσι βλαβεραί'; ,Πᾶσα', φησί, ,πρᾶξις τρυφή ἐστι τῷ ἀνθρώπῳ, ὃ
ἐὰν ἡδέως ποιῇ· καὶ γὰρ ὁ ὀξύχολος τῇ ἑαυτοῦ πράξει τὸ ἱκανὸν
ποιῶν τρυφᾷ· καὶ ὁ μοιχὸς καὶ ὁ μέθυσος καὶ ὁ κατάλαλος καὶ ὁ
ψεύστης καὶ ὁ πλεονέκτης καὶ ὁ ἀποστερητὴς καὶ ὁ τ[ού]τοις τὰ
ὅμοια ποιῶν τῇ ἰδίᾳ νόσῳ τὸ ἱκανὸν ποιεῖ· τρυφᾷ οὖν ἐπὶ τῇ
6 πράξει αὐτοῦ. 6 αὗται πᾶσαι αἱ τρυφαὶ βλαβεραί εἰσι τοῖς δούλοις
τοῦ θεοῦ. διὰ ταύτας οὖν τὰς ἀπάτας πάσχουσιν οἱ τιμωρούμενοι
7 καὶ βασανιζόμενοι. 7 εἰσὶν δὲ καὶ τρυφαὶ σώζουσαι τοὺς ἀνθρώ-
πους· πολλοὶ γὰρ ἀγαθὸν ἐργαζόμενοι τρυφῶσι τῇ ἑαυτῶν ἡδονῇ
φερόμενοι. αὕτη οὖν ἡ τρυφὴ σύμφορός ἐστι τοῖς δούλοις τοῦ
θεοῦ καὶ ζωὴν περιποιεῖται τῷ ἀνθρώπῳ τῷ τοιούτῳ· αἱ δὲ βλα-
βεραὶ τρυφαὶ αἱ προειρημέναι βασάνους καὶ τιμωρίας αὐτοῖς περι-
ποιοῦνται, ἐὰν δὲ ἐπιμένωσι καὶ μὴ μετανοήσωσι, θάνατον ἑαυτοῖς
περιποιοῦνται'.

Παραβολὴ ζ'.

1 Μετὰ ἡμέρας ὀλίγας εἶδον αὐτὸν εἰς τὸ πεδίον τὸ αὐτό, ὅπου
καὶ τοὺς ποιμένας ἑωράκειν, καὶ λέγει μοι ,Τί ἐπιζητεῖς'; ,Πάρειμι',
φημί ,κύριε, ἵνα τὸν ποιμένα τὸν τιμωρητὴν κελεύσῃς ἐκ τοῦ
οἴκου μου ἐξελθεῖν, ὅτι λίαν με θλίβει'. ,Δεῖ σε', φησί, ,θλιβῆναι·
οὕτω γάρ', φησί, προσέταξεν ὁ ἔνδοξος ἄγγελος τὰ περὶ σοῦ·
θέλει γάρ σε πειρασθῆναι'. ,Τί γάρ', φημί, ,κύριε, ἐποίησα οὕτω

ἰσχὺν ἔχει ἡ ἡμέρα ἐκείνη τῆς βασάνου. ὅσας οὖν ἡμέρας τρυφήσῃ τις, τοσού-
τους ἐνιαυτοὺς βασανισθήσεται. βλέπεις οὖν ὅτι τῆς τρυφῆς καὶ ἀπάτης ὁ
χρόνος οὐδέν ἐστιν, τῆς δὲ τιμωρίας καὶ βασάνου πολύς. ὁ τρυφῶν καὶ ἀπα-
τώμενος καὶ πράσσων ἃ βούλεται πολλὴν ἀφροσύνην ἐνδέδυται. ἀντὶ γὰρ τῆς
τρυφῆς καὶ ἀπάτης ἑκάστης ἡμέρας ἀποτίσει βάσανον μεγάλην, ἐνιαυτὸν τῇ
ἡμέρᾳ. καὶ λέγω τῷ ἀγγέλῳ Ποῖαι τρυφαί εἰσι βλαβεραί; λέγει μοι Πᾶσα
πρᾶξις σαρκικὴ τρυφή ἐστιν, ἐὰν ἡδέως ποιῇ αὐτήν· ὁ γὰρ ὀξύχολος τῷ ἑαυτοῦ
πάθει τὸ ἱκανὸν ποιῶν τρυφᾷ, ὁμοίως καὶ ὁ μοιχὸς καὶ ὁ μέθυσος καὶ ὁ κατά-
λαλος καὶ ὁ ψεύστης καὶ ὁ πλεονέκτης καὶ ὁ ἀποστερητὴς καὶ ὅσα τοιαῦτα.
τρυφῶσι γὰρ ἐν τῇ αὐτῶν πράξει. αὗται δὲ αἱ πράξεις βλαβεραί εἰσι τοῖς δού-
λοις τοῦ θεοῦ. εἰσὶ δὲ καὶ τρυφαὶ σώζουσαι τοὺς ἀνθρώπους· πολλὰ γὰρ ἀγαθὰ
ἐργαζόμενοι τρυφῶσιν. αὕτη οὖν ἡ τρυφὴ τοῖς δούλοις τοῦ θεοῦ περιποιεῖται
ζωήν, αἱ δὲ προειρημέναι τρυφαὶ βάσανον.

Sim. VI, V. 4. τῇ ἑαυτοῦ πράξει L. v. (moribus suis) p. (in sua opera) ed. pr. Ti. Hg.¹, τῷ ἑαυτοῦ πάθει (cf. Mand. IV, 1, 6) Ps.-Ath. Hb. (dubitans) Gh. F., secundum voluntatem eius agit et naturam eius delectat ae. 12. γὰρ v. p. ae. ed. pr. Hg.¹ Gh. F., om. L. Ti.

Sim. VII. 17. Παραβολὴ ζ'. v. p. ed. pr. Hg.¹ Gh. F., similitudo octava ae., ἀρχὴ L., om. Ti. 19. Πάρειμι (cf. Vis. V. p. 32, 10) Gh. F., veni v. p. ae., παρ' ἐμοὶ L. ed. pr. Ti. Hg.¹

πονηρόν, ἵνα τῷ ἀγγέλῳ τούτῳ παραδοθῶ'; [2]'Ἄκουε', φησίν· ,αἱ
μὲν ἁμαρτίαι σου πολλαί, ἀλλ' οὐ τοσαῦται ὥστε τῷ ἀγγέλῳ τού-
τῳ παραδοθῆναι. ἀλλ' ὁ οἶκός σου μεγάλας ἀνομίας καὶ ἁμαρτίας
εἰργάσατο, καὶ παρεπικράνθη ὁ ἔνδοξος ἄγγελος ἐπὶ τοῖς ἔργοις
5 αὐτῶν, καὶ διὰ τοῦτο ἐκέλευσέ σε χρόνον τινὰ θλιβῆναι, ἵνα κά-
κεῖνοι μετανοήσωσι καὶ καθαρίσωσιν ἑαυτοὺς ἀπὸ πάσης ἐπιθυ-
μίας τοῦ αἰῶνος τούτου. ὅταν οὖν ματανοήσωσι καὶ καθαρισθῶσι,
τότε ἀποστήσεται [ἀπὸ σοῦ] ὁ [ἄ]γγελος τῆς τιμωρίας'. [3]λέγω αὐτῷ
,Κύριε, εἰ ἐκεῖνοι τοιαῦτα εἰργάσαντο, ἵνα παραπικρανθῇ ὁ ἔνδοξος
10 ἄγγελος, τί ἐγὼ ἐποίησα'; ,Ἄλλως, φησίν, οὐ [δύ]νανται ἐκεῖνοι
θλιβῆναι, ἐὰν μὴ σὺ ἡ κεφαλὴ τοῦ οἴκου θλιβῇς· σοῦ γὰρ θλιβο-
μένου ἐξ ἀνάγκης κἀκεῖνοι θλιβήσονται, εὐσταθοῦντος δ[ὲ σοῦ]
οὐδεμίαν δύνανται θλῖψιν ἔχειν'. [4],Ἀλλ' ἰδού', φημί, ,κύριε, μετα-
νενοήκασιν ἐξ ὅλης καρδίας αὐτῶν'. ,Οἶδα', φησί, ,κἀγὼ ὅτι μετα-
15 νενοήκασιν ἐξ ὅλης καρδίας αὐτῶν· τῶν οὖν μετανοούντων [εὐθέως]
δοκεῖς τὰς ἁμαρτίας ἀφίεσθαι; οὐ παντελῶς· ἀλλὰ δεῖ τὸν μετα-
νοοῦντα βασανίσαι τὴν ἑαυτοῦ ψυχὴν καὶ ταπεινοφρονῆσαι ἐν
πάσῃ πράξει αὐτοῦ ἰσχυρῶς καὶ θλιβῆναι ἐν πάσαις θλίψεσι ποι-
κίλαις· καὶ ἐὰν ὑπενέγκῃ τάς θλίψεις τὰς ἐπερχομένας αὐτῷ, πάν-
20 τως σπλαγχνισθήσεται ὁ τὰ πάντα κτίσας καὶ ἐνδυναμώσας καὶ
ἴασίν τινα δώσει αὐτῷ· [5]καὶ τοῦτο πάντως [ἐὰν ἴδῃ τὴν καρδίαν]
τοῦ μετανοοῦντος καθαρὰν ἀπὸ παντὸς πονηροῦ πράγματος. σοὶ
δὲ συμφέρον ἐστὶ καὶ τῷ οἴκῳ σου νῦν θλιβῆναι. τί δέ σοι πολλὰ
λέγω; θλιβῆναί σε δεῖ, καθὼς προσέταξεν ὁ ἄγγελος κυρίου ἐκεί-
25 νος ὁ παραδιδούς σε ἐμοί· καὶ τοῦτο εὐχαρίστει τῷ κυρίῳ, ὅτι
ἄξιόν σε ἡγήσατο τοῦ προδηλῶσαί σοι τὴν θλῖψιν, ἵνα προγνοὺς
αὐτὴν ὑπενέγκῃς ἰσχυρῶς'. [6]λέγω αὐτῷ ,Κύριε, σὺ μετ' ἐμοῦ γίνου,
καὶ δυνήσομαι πᾶσαν θλῖψιν ὑπενεγκεῖν'. ,Ἐγώ', φησίν, ,ἔσομαι
μετὰ σοῦ. ἐρωτήσω δὲ καὶ τὸν ἄγγελον τὸν τιμωρητήν, ἵνα σε
30 ἐλαφροτέρως θλίψῃ· ἀλλ' ὀλίγον χρόνον θλιβήσῃ καὶ πάλιν ἀπο-
κατασταθήσῃ εἰς τὸν οἶκόν σου· μόνον παράμεινον ταπεινοφρονῶν
καὶ λειτουργῶν τῷ κυρίῳ ἐν πάσῃ καθαρᾷ καρδίᾳ, καὶ τὰ τέκνα

Sim. VII. 6. καθαρίσωσιν edd., καθαρήσωσιν L. 8. ἀπὸ σοῦ v. p. ae. Gh. F., om. L. ed. pr. Ti. Hg.[1] 12. θλιβήσονται L. Ti. Hg.[1] Gh. F., θλίβονται ed. pr. 15. εὐθέως v. p. ae., εὐθὺς Gh. F., om. L. ed. pr. Ti. Hg.[1] 19. 20. πάντως (cf. Vis. I, 2, p. 6, 7) v. p. ae. et edd., πάντως (vel πάσας), ἴσως coniecit Hb. 21. ἴασιν v. p. ae. (Ang.) Hg.[1] Gh. F., ἰσχύν L. Ti. | αὐτῷ (cf. l. 19) p. Hg.[1] Gh. F., αὐτοῖς L. ed. pr. Ti., om. v. p. ae. 21. 22. καὶ τοῦτο — καθαρὰν v. (atque ita si viderit eius qui poenitentiam agit cor purum esse) p. (si tamen viderit eius qui poenitentiam agit praecordia esse pura) ae. (eaque omnia cum eum qui poenitentiam agit cor suum — — purificare viderit) Hg.[1] (καὶ τοῦτο [ὅταν ἴδῃ] παντὸς τοῦ μετανοοῦντος [καρδίαν] καθαρὰν) Gh. F., καὶ τοῦτο πάντως τοῦ μετανοοῦντες καθαρῶς L. ed. pr. Ti. 24. δεῖ L. Ti. Hg.[1] Gh. F., δοκεῖ ed. pr. 32. πάσῃ L. et edd., om. v. p. ae., addubitat Gh.

σου καὶ ὁ οἶκός σου, καὶ πορεύου ἐν ταῖς ἐντολαῖς μου αἷς σοι ἐντέλλομαι. καὶ δυνήσεταί σου ἡ μετάνοια ἰσχυρὰ καὶ καθαρὰ
7 εἶναι· 7 καὶ ἐὰν ταύτας φυλάξῃς μετὰ τοῦ οἴκου σου, ἀποστήσεται πᾶσα θλῖψις ἀπὸ σοῦ· καὶ ἀπὸ πάντων δέ', φησίν, ,ἀποστήσεται θλῖψις, ὅσοι ἐὰν ταῖς ἐντολαῖς μου ταύταις πορευθῶσιν'.

Παραβολὴ η΄.

1 I. Ἔδειξέ μοι ἰτέαν μεγάλην σκεπάζουσαν πεδία καὶ ὄρη, καὶ ὑπὸ τὴν σκέπην τῆς ἰτέας πάντες ἐληλύθασιν οἱ κεκλημένοι τῷ
2 ὀνόματι κυρίου. 2 εἱστήκει δὲ ἄγγελος τοῦ κυρίου ἔνδοξος λίαν ὑψηλὸς παρὰ τὴν ἰτέαν, δρέπανον ἔχων μέγα, καὶ ἔκοπτε κλάδους ἀπὸ τῆς ἰτέας καὶ ἐπεδίδου τῷ λαῷ τῷ σκεπαζομένῳ ὑπὸ τῆς
3 ἰτέας· μικρὰ δὲ ῥαβδία ἐπεδίδου αὐτοῖς, ὡσεὶ πηχυαῖα. 3 μετὰ δὲ τὸ πάντας λαβεῖν τὰ ῥαβδία ἔθηκε τὸ δρέπανον ὁ ἄγγελος, καὶ
4 τὸ δένδρον ἐκεῖνο ὑγιὲς ἦν, οἷον καὶ ἑωράκειν αὐτό. 4 ἐθαύμαζον δὲ ἐγὼ ἐν ἐμαυτῷ λέγων ,Πῶς, τοσούτων κλάδων κεκομμένων, τὸ δένδρον ὑγιές ἐστι'; λέγει μοι ὁ ποιμήν ,Μὴ θαύμαζε, εἰ τὸ δένδρον ὑγιὲς ἔμεινε, τοσούτων κλάδων κοπέντων. [ἀλλ' ἀνάμεινον]· ἀφ' ἧς δέ', φησί, ,πάντα ἴδῃς, καὶ δηλωθήσεταί σοι τὸ τί
5 ἐστιν'. 5 ὁ ἄγγελος ὁ ἐπιδεδωκὼς τῷ λαῷ τὰς ῥάβδους πάλιν ἀπῄτει ἀπ' αὐτῶν· καὶ καθὼς ἔλαβον, οὕτω καὶ ἐκαλοῦντο πρὸς αὐτόν, καὶ εἷς ἕκαστος αὐτῶν ἀπεδίδου τὰς ῥάβδους. ἐλάμβανε
6 δὲ ὁ ἄγγελος τοῦ κυρίου καὶ κατενόει αὐτάς. 6 παρά τινων ἐλάμβανε τὰς ῥάβδους ξηρὰς καὶ βεβρωμένας ὡς ὑπὸ σητός. ἐκέλευσεν ὁ ἄγγελος τοὺς τὰς τοιαύτας ῥάβδους ἐπιδεδωκότας χωρὶς
7 ἵστασθαι· 7 ἕτεροι δὲ ἐπεδίδοσαν ξηράς, ἀλλ' οὐκ ἦσαν βεβρωμέ-
8 ναι ὑπὸ σητός· καὶ τούτους ἐκέλευσε χωρὶς ἵστασθαι. 8 ἕτεροι δὲ ἐπεδίδουν ἡμιξήρους· καὶ οὗτοι χωρὶς ἵσταντο. ἕτεροι δὲ ἐπεδίδουν τὰς ῥάβδους αὐτῶν ἡμιξήρους καὶ σχισμὰς ἐχούσας· καὶ

Sim. VII. 1. σου primum L. Ti. Hg.[1] Gh. F., μου ed. pr. | μου v. ae. et edd., σου L., om. p. 5. ὅσοι ἐὰν (cf. Vis. III, 1 p. 14, 10. Mand. IV, 3 p. 43, 1. 2), ὅσοι ἐν L. ed. pr. Ti., ὅσοι ἂν Hg.[1], ὅσοι [ἐὰν] ἐν Gh. F.
Sim. VIII, I. 6. Παραβολὴ η΄ v. p. ed. pr. Hg.[1] Gh. F., similitudo nona ae., om. L Ti. 9. 10. ἔνδοξος λίαν ὑψηλὸς L. et edd., valde praeclarus et sublimis v., honestus valdeque sublimis p., gloriosus valde, et alta (illa arbor) ae. 17 sq. ἀλλ' ἀνάμεινον v. (sed expecta) p. (expecta igitur) ae. (sed mane) Hg.[1] Gh. F., om. L. ed. pr. Ti. 19. ὁ ἄγγελος L. v. et edd., nuntius autem p., et iste angelus ae. 22—p. 95, 21. singulis ordinibus in ae. praenotantur numeri I—XIII. 25. ἐπεδίδοσαν L. Ti. Hg.[1] Gh. F., ἐπεδίδουν ed. pr. 1. 26—p. 95, 1. ἕτεροι — ἵσταντο unum efficiunt ordinem bipartitum. si illos, qui semiaridas, et hos, qui semiaridas scissasque virgas tradiderunt, coniungimus. numerus XII ordinum servatur. illi, qui semiaridas virgas tradiderunt, c. IV, 6 non memorantur, c. VII, 1 partem solam efficiunt. 27. ἕτεροι L. p. ae. et edd., quidam v. 28. ἡμιξήρους L. v. ae. et edd., pseudoaridas v.

οὗτοι χωρὶς ἵσταντο. [9][ἕτεροι δὲ ἐπεδίδουν τὰς ῥάβδους αὐτῶν χλωρὰς καὶ σχισμὰς ἐχούσας· καὶ οὗτοι χωρὶς ἵσταντο]. [10]ἕτεροι δὲ ἐπεδίδουν τὰς ῥάβδους τὸ ἥμισυ ξηρὸν καὶ τὸ ἥμισυ χλωρόν· καὶ οὗτοι χωρὶς ἵσταντο. [11]ἕτεροι δὲ προσέφερον τὰς ῥάβδους αὐτῶν, τὰ δύο μέρη τῆς ῥάβδου χλωρά, τὸ δὲ τρίτον ξηρόν· καὶ οὗτοι χωρὶς ἵσταντο. [12]ἕτεροι δὲ ἐπεδίδουν τὰ δύο μέρη ξηρά, τὸ δὲ τρίτον χλωρόν· καὶ οὗτοι χωρὶς ἵσταντο. [13]ἕτεροι δὲ ἐπεδίδουν τὰς ῥάβδους αὐτῶν παρὰ μικρὸν ὅλας χλωράς, ἐλάχιστον δὲ τῶν ῥάβδων αὐτῶν ξηρὸν ἦν, αὐτὸ τὸ ἄκρον, σχισμὰς δὲ εἶχον ἐν αὐταῖς· καὶ οὗτοι χωρὶς ἵσταντο. [14]ἑτέρων δὲ ἦν ἐλάχιστον χλωρόν, τὰ δὲ λοιπὰ τῶν ῥάβδων ξηρά· καὶ οὗτοι χωρὶς ἵσταντο. [15]ἕτεροι δὲ ἤρχοντο τὰς ῥάβδους χλωρὰς φέροντες, ὡς ἔλαβον παρὰ τοῦ ἀγγέλου· τὸ δὲ πλεῖον μέρος τοῦ ὄχλου τοιαύτας ῥάβδους ἐπεδίδουν. ὁ δὲ ἄγγελος ἐπὶ τούτοις ἐχάρη λίαν· καὶ οὗτοι χωρὶς ἵσταντο. [16][ἕτεροι δὲ ἐπεδίδουν τὰς ῥάβδους αὐτῶν χλωρὰς καὶ παραφυάδας ἐχούσας· καὶ οὗτοι χωρὶς ἵσταντο, καὶ ἐπὶ τούτοις ὁ ἄγγελος λίαν ἐχάρη]. [17]ἕτεροι δὲ ἐπεδίδουν τὰς ῥάβδους αὐτῶν χλωρὰς καὶ παραφυάδας ἐχούσας, αἱ δὲ παραφυάδες αὐτῶν ὡσεὶ καρπόν τινα εἶχον. καὶ λίαν ἱλαροὶ ἦσαν οἱ ἄνθρωποι ἐκεῖνοι, ὧν αἱ ῥάβδοι τοιαῦται εὑρέθησαν. καὶ ὁ ἄγγελος ἐπὶ τούτοις ἠγαλλιᾶτο, καὶ ὁ ποιμὴν λίαν ἱλαρὸς ἦν ἐπὶ τούτοις. II. [1]ἐκέλευσε δὲ ὁ ἄγγελος κυρίου στεφάνους ἐνεχθῆναι. καὶ ἠνέχθησαν στέφανοι ὡσεὶ ἐκ φοινίκων γεγονότες, καὶ ἐστεφάνωσε τοὺς ἄνδρας τοὺς ἐπιδεδωκότας τὰς ῥάβδους τὰς ἐχούσας τὰς παραφυάδας καὶ καρπόν τινα καὶ ἀπέλυσεν αὐτοὺς εἰς τὸν πύργον. [2]καὶ τοὺς ἀλ-

Sim. VIII, II. 21. 22. Origenes Hom. I, 5 in Ezech. (Opp. III, 358): scriptum est in quodam libro, quia salignam omnes credentes accipiant coronam. 4 Ezr. II, 43: et singulis eorum capitibus inponebat coronas. 46, 47: et dixi ad angelum: „Ille iuvenis quis est, qui eis coronas inponit et palmas in manus tradit"? qui respondens dixit mihi: „Ipse est filius Dei quem in saeculo confessi sunt."

Sim. VIII, I. 1. 2. uncis inclusa p. (alii porrigebant virgas suas virides scissuras habentes, et hi segregabantur) ae. (et porrigebant alii virgas suas virides et scissuras habentes, et ii quoque seorsim steterunt) Hg.[1] Gh. F., om. L. v. ed. pr. Ti. 2—4. ἕτεροι — ἵσταντο L. v. ae. et edd., om. p. 3. τὸ proposuit Gh., ed. F., om. L. ed. pr. Ti. Hg.[1] Gh. 6. 7. ἕτεροι — ἵσταντο L. v. ae. et edd., om. p. 7. ἕτεροι L. p. et edd., socii eorum (ἑταῖροι) ae., quidam v. 9. 10. σχισμὰς δὲ εἶχον ἐν αὐταῖς L. v. ae. et edd., om. p. 10. αὐταῖς. scribere licet αὑταῖς. sed cf. c. VII, 1. 2. 10. 11. ἑτέρων — ἵσταντο L. v. ae., om. p. 15—17. uncis inclusa v. (alii afferebant virgas suas virides et pampinos habentes, et hi seorsum statuebantur, et hos quoque nuncius ille magna hilaritate capiebat) p. (alii quoque adtulerunt virgas virides pampinos habentes, et hi separatim positi sunt, et in his ille angelus gaudebat) ae. (et porrigebant virgas suas totas virides adeoque germinantes; et ii quoque seorsum steterunt. et propter eos quoque valde laetatus est ille angelus bonus) Hg.[1] Gh. (add. l. 16 δὲ post τούτοις) F. (ut Gh.), om. L. 18. ὡσεὶ L. et edd., om. v. p. ae.

λους δὲ ἀπέστειλεν εἰς τὸν πύργον, τοὺς τὰς ῥάβδους τὰς χλωρὰς ἐπιδεδωκότας καὶ παραφυάδας ἐχούσας, καρπὸν δὲ μὴ ἐχούσας τὰς παραφυάδας, δοὺς αὐτοῖς σφαγῖδα. [3]ἱματισμὸν δὲ τὸν αὐτὸν πάντες εἶχον λευκὸν ὡσεὶ χιόνα οἱ πορευόμενοι εἰς τὸν πύργον. [4]καὶ τοὺς τὰς ῥάβδους ἐπιδεδωκότας χλωράς, ὡς ἔλαβον, ἀπέλυσε, δοὺς αὐτοῖς ἱματισμὸν καὶ σφραγῖδα. [5]μετὰ τὸ ταῦτα τελέσαι τὸν ἄγγελον λέγει τῷ ποιμένι ‚Ἐγὼ ὑπάγω· σὺ δὲ τούτους ἀπολύσεις εἰς τὰ τείχη, καθὼς ἄξιός ἐστί τις κατοικεῖν. κατανόησον δὲ τὰς ῥάβδους αὐτῶν ἐπιμελῶς, καὶ οὕτως ἀπόλυσον· ἐπιμελῶς δὲ κατανόησον. βλέπε, μή τίς σε παρέλθῃ‘, φησίν. ‚ἐὰν δέ τίς σε παρέλθῃ, ἐγὼ αὐτοὺς ἐπὶ τὸ θυσιαστήριον δοκιμάσω‘. ταῦτα εἰπὼν τῷ ποιμένι ἀπῆλθε. [6]καὶ μετὰ τὸ ἀπελθεῖν τὸν ἄγγελον λέγει μοι ὁ ποιμὴν ‚Λάβωμεν πάντων τὰς ῥάβδους καὶ φυτεύσωμεν αὐτάς, εἴ τινες ἐξ αὐτῶν δυνήσονται ζῆσαι‘. λέγω αὐτῷ ‚Κύριε, τὰ ξηρὰ ταῦτα πῶς δύνανται ζῆσαι‘; ἀποκριθείς μοι λέγει [7]‚Τὸ δένδρον τοῦτο ἰτέα ἐστὶ καὶ φιλόζωον τὸ γένος· ἐὰν οὖν φυτευθῶσι καὶ μικρὰν ἰκμάδα λαμβάνωσιν αἱ ῥάβδοι, ζήσονται πολλαὶ ἐξ αὐτῶν. εἶτα δὲ πειράσωμεν καὶ ὕδωρ αὐταῖς παραχέειν. ἐάν τις αὐτῶν δυνηθῇ ζῆσαι, συγχαρήσομαι αὐτῷ· ἐὰν δὲ μὴ ζήσῃ, οὐχ εὑρεθήσομαι ἐγὼ ἀμελής‘. [8]ἐκέλευσε δέ μοι ὁ ποιμὴν καλέσαι, καθώς τις αὐτῶν ἐστάθη. ἦλθον τάγματα τάγματα καὶ ἐπεδίδουν τὰς ῥάβδους τῷ ποιμένι. ἐλάμβανε δὲ ὁ ποιμὴν τὰς ῥάβδους καὶ κατὰ τάγματα ἐφύτευσεν αὐτὰς καὶ μετὰ τὸ φυτεῦσαι ὕδωρ αὐταῖς πολὺ παρέχεεν, ὥστε ἀπὸ τοῦ ὕδατος μὴ φαίνεσθαι τὰς ῥάβδους. [9]καὶ μετὰ τὸ ποτίσαι αὐτὸν τὰς ῥάβδους λέγει μοι [‚Ἄγωμεν] καὶ μετ᾽ ὀλίγας ἡμέρας ἐπανέλθωμεν καὶ ἐπισκεψώμεθα τὰς ῥάβδους πάσας· ὁ γὰρ κτίσας τὸ δένδρον τοῦτο θέλει πάντας ζῆν τοὺς λαβόντας ἐκ τοῦ δένδρου τούτου κλάδους. ἐλπίζω δὲ κἀγὼ ὅτι λαβόντα τὰ ῥαβδία ταῦτα ἰκμάδα καὶ ποτισθέντα ὕδατι ζήσονται τὸ πλεῖστον μέρος αὐτῶν‘.

III. Λέγω αὐτῷ ‚Κύριε, τὸ δένδρον τοῦτο γνώρισόν μοι τί ἐστιν· ἀποροῦμαι γὰρ περὶ αὐτοῦ, ὅτι τοσούτων κλάδων κοπέντων

3. 4. 4 Ezr. II, 40: recipe, Sion, numerum tuum et conclude candidatos tuos, qui legem domini compleverunt.

Sim. VIII, II. 3. σφραγῖδα v. p. ae. Gh. F., σφραγίδας (ut semper) L. Ti., σφραγῖδας ed. pr. Ti. 6. καὶ σφραγῖδα p. ae. Gh. F., καὶ σφραγίδας L. ed. pr. Ti. Hg.[1], om. v. 7. λέγει L. (Gh.) v. p. ae. Ti. Hg.[1] Gh. F., λέγω ed. pr. 10. τις L. v., τί p. 14. 15. λέγω — ζῆσαι L. v. ae. et edd., om. p. 19. αὐτῷ v. p., αὐταῖς L. ae. et edd. 21. καθὼς L. p. ae. et edd., καὶ καθὼς v. 23. τάγματα v. p. ed. pr. Hg.[1] Gh. F., τάγμα L. (Ti.) ae. Ti. 24. ὥστε ἀπὸ τοῦ ὕδατος μὴ φαίνεσθαι L. et edd., ita ut tegerentur ab aqua neque ab ea exstarent v., sic ut tegerentur ab aqua neque exstarent p., ita ut aqua eas operiret, neque visae essent ae., „add. σκεπασθῆναι καὶ?“ Gh. 25. Ἄγωμεν (cf. Sim. VI, 1 p. 87, 5. 6. Sim. IX, 7, 6) v. p. ae. Ang. Hg.[1] Gh. F., om. L.

ὑγιές ἐστι τὸ δένδρον, καὶ οὐδὲν φαίνεται κεκομμένον ἀπ' αὐτοῦ· ἐν τούτῳ οὖν ἀποροῦμαι‘. [2] ,Ἄκουε‘, φησί· ,τὸ δένδρον τοῦτο τὸ μέγα τὸ σκεπάζον πεδία καὶ ὄρη καὶ πᾶσαν τὴν γῆν ὁ νόμος θεοῦ ἐστὶν ὁ δοθεὶς εἰς ὅλον τὸν κόσμον· ὁ δὲ νόμος οὗτος υἱὸς θεοῦ ἐστὶ κηρυχθεὶς εἰς τὰ πέρατα τῆς γῆς· οἱ δὲ ὑπὸ τὴν σκέπην λαοὶ ὄντες οἱ ἀκούσαντες τοῦ κηρύγματος καὶ πιστεύσαντες εἰς αὐτόν· [3] ὁ δὲ ἄγγελος ὁ μέγας καὶ ἔνδοξος Μιχαὴλ ὁ ἔχων τὴν ἐξουσίαν τούτου τοῦ λαοῦ καὶ διακυβερνῶν αὐτούς. οὗτος γάρ ἐστιν ὁ διδοὺς αὐτοῖς τὸν νόμον εἰς τὰς καρδίας τῶν πιστευόντων· ἐπισκέπτεται οὖν αὐτούς, οἷς ἔδωκεν [τὸν νόμον], εἰ ἄρα τετηρήκασιν αὐτόν. [4] βλέπεις δὲ ἑνὸς ἑκάστου τὰς ῥάβδους· αἱ γὰρ ῥάβδοι ὁ νόμος ἐστί. βλέπεις οὖν πολλὰς ῥάβδους ἠχρειωμένας, γνώσῃ δὲ αὐτοὺς πάντας, τοὺς μὴ τηρήσαντας τὸν νόμον, καὶ ὄψει ἑνὸς ἑκάστου τὴν κατοικίαν‘. [5] λέγω αὐτῷ ,Κύριε, διὰ τί οὓς μὲν ἀπέλυσεν εἰς τὸν πύργον, οὓς δὲ σοὶ κατέλειψεν‘; ,Ὅσοι‘, φησί, ,παρέβησαν τὸν νόμον, ὃν ἔλαβον παρ' αὐτοῦ, εἰς τὴν ἐμὴν ἐξουσίαν κατέλιπεν αὐτοὺς εἰς μετάνοιαν· ὅσοι δὲ ἤδη εὐηρέστησαν τῷ νόμῳ καὶ τετηρήκασιν αὐτόν, ὑπὸ τὴν ἰδίαν ἐξουσίαν ἔχει αὐτούς‘. [6] ,Τίνες οὖν‘, φημί, ,κύριε, εἰσὶν οἱ ἐστεφανωμένοι καὶ εἰς τὸν πύργον ὑπάγοντες‘; [,Ὅσοι‘, φησίν, τῷ διαβόλῳ συμπαλαίσαντες ἐνίκησαν αὐτόν, ἐστεφανωμένοι εἰσίν.] οὗτοί εἰσιν οἱ ὑπὲρ τοῦ νόμου παθόντες· [7] οἱ δὲ ἕτεροι καὶ αὐτοὶ χλωρὰς τὰς ῥάβδους ἐπιδεδωκότες καὶ παραφυάδας ἐχούσας, καρπὸν δὲ μὴ ἐχούσας οἱ ὑπὲρ τοῦ νόμου θλιβέντες, μὴ παθόντες δὲ μηδὲ ἀρνησάμενοι τὸν νόμον αὐτῶν· [8] οἱ δὲ χλωρὰς ἐπιδεδωκότες οἵας ἔλαβον, σεμνοὶ καὶ δίκαιοι καὶ λίαν πορευθέντες ἐν καθαρᾷ καρδίᾳ καὶ τὰς ἐντολὰς

Sim. VIII, III. 7—17. Origenes Tom. in Matth. XIV, 21 (Opp. III, 644): εἰ δὲ χρὴ τολμήσαντα καὶ ἀπό τινος φερομένης μὲν ἐν τῇ ἐκκλησίᾳ (cod. reg. ἐν ταῖς ἐκκλησίαις) γραφῆς, οὐ παρὰ πᾶσι δὲ ὁμολογουμένης εἶναι θείας τὸ τοιοῦτον παραμυθήσασθαι, λήφθείη ἂν ἀπὸ τοῦ Ποιμένος περί τινων ἅμα μὲν τῷ πιστεύειν ὑπὸ τῷ Μιχαὴλ γινομένων, διὰ δὲ φιληδονίαν ἀποπιπτόντων ἐκείνου καὶ γινομένων ὑπὸ τὸν τῆν τρυφῆς, εἶτα ὑπὸ τὸν τῆς τιμωρίας, μεθ' ὃν ὑπὸ τὸν τῆς μετανοίας. cf. Sim. VI. p. 87 sq.

19—22. 4 Ezr. II, 45: et confessi sunt nomen dei. modo coronantur et recipiunt palmas.

Sim. VIII, III. 3. ὁ νόμος scripsi, νόμος L. et edd. 8. αὐτούς v. p. ae. Hg.[1] Gh. F., om. L. ed. pr. Ti. 9. αὐτοῖς L. ed. pr. Ti. Hg.[1] Gh. F., αὐτοῦ ae. Gh. 10. αὐτούς v. p. ae. Hg.[1] Gh. F., αὐτὸς L. ed. pr. Ti. | τὸν νόμον v. p. ae. (add. eius), om. L. et edd. 17. εὐηρέστησαν L. ae. et edd., satisfecerunt v. p. 20. 21. uncis inclusa v. (ait mihi: Quicunque luctati cum diabolo vicerunt eum, illi sunt coronati) p. (ait mihi: Quicunque luctati sunt cum diabolo et vicerunt eum, illi sunt coronati) ae. (et respondit et dixit mihi: Hi qui coronati sunt, sunt ii qui cum Satana colluctati eum vicerunt). Hg. (Herm. lat. p. X: Ὅσοι μετὰ τοῦ διαβ. ἐπάλαισαν καὶ ἐνίκησαν αὐτόν, ἐστεφανωμένοι εἰσίν) Gh. (Ὅσοι, φησίν, ἀντεπάλαισαν τῷ διαβόλῳ καὶ κατεπάλαισαν αὐτόν, ἐστεφανωμένοι εἰσίν) F. (ut Gh.). 23. καρπὸν L. Ti. Hg.[1] Gh. F., καρποὺς ed. pr. Ti.

κυρίου πεφυλακότες. τὰ δὲ λοιπὰ γνώσῃ, ὅταν κατανοήσω τὰς ῥάβδους ταύτας τὰς πεφυτευμένας καὶ πεποτισμένας'.

1 IV. Καὶ μετὰ ἡμέρας ὀλίγας ἤλθομεν εἰς τὸν τόπον, καὶ ἐκάθισεν ὁ ποιμὴν εἰς τὸν τόπον τοῦ ἀγγέλου, κἀγὼ παρεστάθην αὐτῷ. καὶ λέγει μοι ,Περίζωσαι ὠμόλινον [καὶ διακόνει μοι'. πε-

2 ριεζωσάμην ὠμόλινον] ἐκ σάκκου γεγονὸς καθαρόν. [2]ἰδὼν δέ με περιεζωσμένον καὶ ἕτοιμον ὄντα τοῦ διακονεῖν αὐτῷ, ,Κάλει', φησί, ,τοὺς ἄνδρας, ὧν εἰσὶν αἱ ῥάβδοι πεφυτευμέναι κατὰ τὸ τάγμα, ὥς τις ἔδωκε τὰς ῥάβδους'. καὶ ἀπῆλθον εἰς τὸ πεδίον καὶ ἐκά-

3 λεσα πάντας, οἳ ἔστησαν πάντες κατὰ τάγματα. [3]λέγει αὐτοῖς ,Ἕκαστος τὰς ἰδίας ῥάβδους ἐκτιλάτω καὶ φ[ερέ]τω πρός με'.

4 [4]πρῶτοι ἐπέδωκαν οἱ τὰς ξηρὰς καὶ κεκομμένας ἐσχηκότες, αἳ οὕτως εὑρέθησαν ξηραὶ καὶ κεκομμέναι. ἐκέλευσεν αὐτοὺς χωρὶς

5 σταθῆναι. [5]εἶτα ἐπέδωκαν οἱ τὰς ξηρὰς καὶ μὴ κεκομμένας ἔχοντες. τινὲς δὲ ἐξ αὐτῶν ἐπέδωκαν τὰς ῥάβδους χλωράς, τινὲς δὲ ξηρὰς καὶ κεκομμένας ὡς ὑπὸ σητός. τοὺς ἐπιδεδωκότας οὖν χλωρὰς ἐκέλευσε χωρὶς σταθῆναι, τοὺς δὲ ξηρὰς καὶ κεκομμένας

6 ἐπιδεδωκότας ἐκέλευσε μετὰ τῶν πρώτων σταθῆναι. [6]εἶτα ἐπέδωκαν οἱ τὰς ἡμιξήρους καὶ σχισμὰς ἐχούσας. καὶ πολλοὶ ἐξ αὐτῶν χλωρὰς ἐπέδωκαν καὶ μὴ ἐχούσας σχισμάς· τινὲς δὲ χλωρὰς καὶ παραφυάδας ἐχούσας, καὶ εἰς τὰς παραφυάδας καρπούς, οἵους εἶχον οἱ εἰς τὸν πύργον πορευθέντες ἐστεφανωμένοι· τινὲς δὲ ἐπέδωκαν ξηρὰς καὶ βεβρωμένας, τινὲς δὲ ξηρὰς καὶ ἀβρώτους, τινὲς δὲ οἷαι ἦσαν ἡμίξηροι καὶ σχισμὰς ἔχουσαι. ἐκέλευσεν αὐτοὺς ἕνα ἕκαστον χωρὶς σταθῆναι, τοὺς μὲν πρὸς τὰ ἴδια τάγ-

1 ματα, τοὺς δὲ χωρίς. V. εἶτα ἐπεδίδουν οἱ τὰς ῥάβδους χλωρὰς μὲν ἔχοντες, σχισμὰς δὲ ἐχούσας· οὗτοι πάντες χλωρὰς ἐπέ-

Sim. VIII, IV. 5. Περίζωσαι L. Ti. Hg.[1] Gh. F., περίζωσον ed. pr. 5. 6. uncis inclusa v. (et ministra mihi. incinxi me sabano) p. (et ministra mihi. cumque praecinxissem me sabano) ae. (et ministra mihi. et succinxi vestimentum) Gh. F., om. L. ed. pr. Ti. Hg.[1] 9. ὥς τις v. p. ae. Hg.[1] Gh. F., ὅστις L. ed. pr. Ti. 10. οἳ ἔστησαν πάντες κατὰ τάγματα v. (qui etiam universi constiterunt agminibus suis) p. (qui cum venissent et locis suis stetissent) ae. (et steterunt omnes ex ordine), καὶ ἔστησαν πάντα τάγματα L. ed. pr. Ti. Hg.[1], καὶ ἔστησαν τάγματα τάγματα Gh. F. 11. Ἕκαστος. hoc loco exit alterum codicis L. folium. sequentia in L.[2] servata sunt. | φ[ερέ]τω v. p. ae. Ti. Hg.[1] Gh. F., φ[ησά]τω L.[2] ed. pr. 12. 13. αἳ οὕτως scripsi, οἱ (superscr. αἱ) οὕτως L.[2], et quae (et que, eque = aeque?) v., sicut antea non ae., ὡς αὗται Simon. ed. pr. Ti., καὶ ὅτι οὕτως Hg.[1], καὶ ὡσαύτως Gh. F., om. p. 14. σταθῆναι L.[2] (superscr.) ed. pr. Hg.[1] Gh. F., στῆναι L.[2] (in linea) Ti. 16. σητός et edd., σητόν L.[2] | ἐπιδεδωκότας edd., ἐπιδεδοκότας L.[2] 18. σταθῆναι. Ang. Ti. nonnihil deesse videbatur, sed nihil deesse v. p. ae. docent. 21. 22. καρπούς, οἵους L.[2] et edd., καρπόν, οἷον v. p. ae. favente Gh. 22. 23. τινὲς δὲ — ἀβρώτους L.[2] et edd., alii porrexerunt aridas et non putridas v., obtulerunt quoque et illi virgas suas, qui putres et aridas habuerunt, alii aridas nec putres p., aliae inventae sunt aridae et comestae ae. 25. σταθῆναι Gh. F., στῆναι L.[2] ed. pr. Ti. Hg.[1] 25 sq. ἴδια τάγματα v. ae. et edd., ἰνδιατάγματα (super ἰν notato εν) L.[2]

δωκαν καὶ ἔστησαν εἰς τὸ ἴδιον τάγμα. ἐχάρη δὲ ὁ ποιμὴν ἐπὶ τούτοις, ὅτι πάντες ἠλλοιώθησαν καὶ ἀπέθεντο τὰς σχισμὰς αὐτῶν. [2]ἐπέδωκαν δὲ καὶ οἱ τὸ ἥμισυ χλωρόν, τὸ δὲ ἥμισυ ξηρὸν ἔχοντες· τινῶν οὖν εὑρέθησαν αἱ ῥάβδοι ὁλοτελῶς χλωραί, τινῶν ἡμίξηροι, τινῶν ξηραὶ καὶ βεβρωμέναι, τινῶν δὲ χλωραὶ καὶ παραφυάδας ἔχουσαι. οὗτοι πάντες ἀπελύθησαν ἕκαστος πρὸς τὸ τάγμα αὐτοῦ. [3]εἶτα ἐπέδωκαν οἱ τὰ δύο μέρη χλωρὰ ἔχοντες, τὸ δὲ τρίτον ξηρόν. πολλοὶ ἐξ αὐτῶν χλωρὰς ἐπέδωκαν, πολλοὶ δὲ ἡμιξήρους, ἕτεροι δὲ ξηρὰς καὶ βεβρωμένας· οὗτοι πάντες ἔστησαν εἰς τὸ ἴδιον τάγμα. [4][εἶτα ἐπέδωκαν οἱ τὰ δύο μέρη ξηρὰ ἔχοντες, τὸ δὲ τρίτον χλωρόν. πολλοὶ ἐξ αὐτῶν ἡμιξήρους ἐπέδωκαν, τινὲς δὲ ξηρὰς καὶ βεβρωμένας, ἕτεροι δὲ ἡμιξήρους καὶ σχισμὰς ἐχούσας, ὀλίγοι δὲ χλωράς. οὗτοι πάντες ἔστησαν εἰς τὸ ἴδιον τάγμα]. [5]ἐπέδωκαν δὲ οἱ τὰς ῥάβδους χλωρὰς ἐσχηκότες, ἐλάχιστον δὲ [ξηρὸν] καὶ σχισμὰς ἐχούσας. ἐκ τούτων τινὲς χλωρὰς ἐπέδωκαν, τινὲς δὲ χλωρὰς καὶ παραφυάδας ἐχούσας. ἀπῆλθον καὶ οὗτοι εἰς τὸ τάγμα αὐτῶν. [6]εἶτα ἐπέδωκαν οἱ ἐλάχιστον ἔχοντες χλωρόν, τὰ δὲ λοιπὰ μέρη ξηρά· τούτων αἱ ῥάβδοι εὑρέθησαν τὸ πλεῖστον μέρος χλωραὶ καὶ παραφυάδας ἔχουσαι καὶ καρπὸν ἐν ταῖς παραφυάσι, καὶ ἕτεραι χλωραὶ ὅλαι. ἐπὶ ταύταις ταῖς ῥά-

Sim. VIII, V. 4. ὁλοτελῶς L.[2] (superscr.) et edd., ὁλοτελεῖς L.[2] (in linea). | τινῶν ἡμίξηροι L. v. p. et edd., om. ae. 5. τινῶν ξηραὶ καὶ βεβρωμέναι L.[2] p. ae. et edd., om. v. 9. καὶ βεβρωμένας L.[2] p. ae. et edd., et non putridas v. 10—14. uncis inclusa v. (deinde porrigebant qui habuerunt in virgis suis duas partes aridas et tertiam viridem. multi ex eis porrexerunt semiaridas, quidam vero aridas et putridas, alii enim semiaridas et scissuras habentes, pauci vero virides. hi igitur omnes constiterunt in suo quisque agmine) p. (alii vero porrigebant virgas suas, qui duas partes aridas habuerunt, tertiam autem partem viridem. et multi ex his tradiderunt semiaridas, aliqui aridas et putres, aliqui semiaridas et scissuras minimas habentes; alii virides tradiderunt, et hi omnes steterunt in suo agmine) ae. (et porrexerunt alii diversi virgas suas, quarum duae partes aridae, et tertia viridis. et multi ex iis, quas dederunt, dimidia parte aridae et scissuras habentes et comestae; et pauci quas dederunt virides totae. et omnes cum sociis suis steterunt) Hg.[1] (l. 11 ἕτεροι pro τινές) Gh. (l. 12 τινὲς pro ἕτεροι) F. (ut Gh.). 14. 15. ἐπέδωκαν δὲ — σχισμὰς ἐχούσας (om. ξηρὸν) L.[2] ed. pr. (add. ξηράς). Ti. Hg.[1] (add. ξηράς) Gh. (add. ξηρὸν) F. (ut Gh.), deinde illi, qui virgas suas virides habebant, et minimum aridum et scissuras habentes p., et porrexerunt, quorum virgae virides, et extrema pars arida et scissuras habens ae., om. v. 15. 16. ἐκ τούτων — ἐχούσας L.[2] p. (ex his aliqui virides dederunt; quidam autem ex eis virides pampinosque habentes obtulerunt) ae. (et inter hos alii porrexerunt virgas virides totas et etiam germinantes, aliarum autem dimidia pars arida et scissuram habens) et edd., om. v. 16. 17. ἀπῆλθον δὲ καὶ οὗτοι εἰς τὸ τάγμα αὐτῶν L.[2] p. (et ut iussi sunt, ierunt unusquisque in agmen suum) ae. (et abierunt hi quoque omnes ad socios suos) et edd., om. v. 17—20. εἶτα ἐπέδωκαν — χλωραὶ ὅλαι L.[2], deinde porrexerunt qui minimum habebant viride, reliquum vero aridum. horum virgae maiore ex parte inventae sunt virides ramusculos habentes et in eis ramusculis fructum, et reliquae virides totae v.; hi autem, qui in virgis suis minimum viride, reliquum aridum habuerunt, horum virgae maior pars inventae sunt virides ramosque habere et in ramulis fructum. et caeterorum virgae totae virides inventae sunt p.; et deinde porrexerunt, quarum extrema

βδοις ἐχάρη ὁ ποιμὴν λίαν ἡσθείς, ὅτι οὕτως εὑρέθησαν. ἀπῆλθον δὲ οὗτοι ἕκαστος εἰς τὸ ἴδιον τάγμα.

1 VI. Μετὰ τὸ πάντων κατανοῆσαι τὰς ῥάβδους τὸν ποιμένα λέγει μοι ,Εἶπόν σοι ὅτι τὸ δένδρον τοῦτο φιλόζωόν ἐστι. βλέπεις', φησί, ,πόσοι μετενόησαν καὶ ἐσώθησαν'; ,Βλέπω', φημί, ,κύριε'. ,Ἵνα ἴδῃς', φησί, ,τὴν πολυσπλαγχνίαν τοῦ κυρίου ὅτι μεγάλη καὶ ἔνδοξός ἐστι, καὶ ἔδωκε πνεῦμα τοῖς ἀξίοις οὖσι μετα-
2 νοίας'. [2],Τί οὗτοι οὖν', φημί, ,κύριε, πάντες οὐ μετενόησαν'; ,Ὧν εἶδε', φησί, ,τὴν καρδίαν μέλλουσαν καθαρὰν γενέσθαι καὶ δουλεύειν αὐτῷ ἐξ ὅλης καρδίας, τούτοις ἔδωκε τὴν μετάνοιαν· ὧν δὲ εἶδε τὴν δολιότητα καὶ πονηρίαν, μελλόντων ἐν ὑποκρίσει μετανοεῖν, ἐκείνοις οὐκ ἔδωκε μετάνοιαν, μήποτε πάλιν βεβηλώ-
3 σωσι τὸ ὄνομα αὐτοῦ'. [3]λέγω αὐτῷ ,Κύριε, νῦν οὖν μοι δήλωσον τοὺς τὰς ῥάβδους ἐπιδεδωκότας, ποταπός τις αὐτῶν ἐστί, καὶ τὴν τούτων κατοικίαν, ἵνα ἀκούσαντες οἱ πιστεύσαντες καὶ εἰληφότες τὴν σφραγῖδα καὶ τεθλακότες αὐτὴν καὶ μὴ τηρήσαντες ὑγιῆ, ἐπιγνόντες τὰ ἑαυτῶν ἔργα μετανοήσωσι λαβόντες ὑπὸ σοῦ σφραγῖδα καὶ δοξάσωσι τὸν κύριον, ὅτι ἐσπλαγχνίσθη ἐπ' αὐτοὺς καὶ ἀπέ-
4 στειλέ σε τοῦ ἀνακαινίσαι τὰ πνεύματα αὐτῶν'. [4],Ἄκουε', φησίν· ,ὧν αἱ ῥάβδοι ξηραὶ καὶ βεβρωμέναι ὑπὸ σητὸς εὑρέθησαν, οὗτοί εἰσιν οἱ ἀποστάται καὶ προδόται τῆς ἐκκλησίας καὶ βλασφημήσαντες ἐν ταῖς ἁμαρτίαις αὐτῶν τὸν κύριον, ἔτι δὲ καὶ ἐπαισχυνθέντες τὸ ὄνομα κυρίου τὸ ἐπικληθὲν ἐπ' αὐτούς. οὗτοι οὖν εἰς τέλος ἀπώλοντο τῷ θεῷ. βλέπεις δὲ ὅτι οὐδὲ εἷς αὐτῶν μετενόησε, καίπερ ἀκούσαντες τὰ ῥήματα, ἃ ἐλάλησας αὐτοῖς, ἅ σοι

pars viridis, et reliquum totum aridum. et inter virgas eorum omnium plurimae inventae sunt virides et insuper germinantes et fructum inter folia habentes; et aliae virides inventae sunt totae ae.

Sim. VIII, V. 1. ἐχάρη ὁ ποιμὴν λίαν ἡσθείς emendavi, ἐχάρη ὁ ποιμὴν λίαν μενεὶς L., ἐχάρη ὁ ποιμὴν λίαν, μνησθεὶς Simon. ed. pr., ἐχάρη ὁ π. λίαν . . . . . . Ti., ἐχάρη ὁ ποιμὴν λίαν Hg.[1] (fort. add. ἐκεῖνος vel ἀνεθεὶς) Gh. F., gaudium vehementer percepit hic pastor v., pastor ille magnum gaudium percepit p., gavisus est valde pastor ae.

VI. 6. πολυσπλαχνίαν (cf. Vis. I, 3, 2. II, 2, 8. IV, 2, 3. Mand. IX, 2) scripsi, πολυευσπλαγχνιαν L.[2] et edd., bonitatem et (atque) clementiam v. p., multam — misericordiam ae. 7. καὶ ἔδωκε L.[2] et edd., qui dedit v., eumque dedisse ae. 8. Τί οὗτοι οὖν, φημί, πάντες οὐ μετενόησαν; Hg.[1], οἱ οὗτοι οὖν — μετεν. L.[2], Quare ergo, domine, (inquam add. p.) non omnes egerunt poenitentiam? v. p., Quomodo, domine, poenitentiam egere omnes? ae., Διατί οὖν, φημί, κ., πάντες οὐ μετ. (Ang.) Gh. F., Οὗτοι οὖν κτλ. ed. pr., Εἰ οὗτοι οὖν κτλ. Ti. voc. οὗτοι, quamvis a verss. non redditum, deesse non potest. digito monstrantur illi, qui omnes poenitentiam respuerunt. 13. τὸ ὄνομα L.[2] ae. et edd., τὸν νόμον v. p. 16. 17. ἐπιγνόντες edd., ἐπιγνῶντες L.[2] 17. 18. λαβόντες ὑπὸ σοῦ σφραγῖδα καὶ δοξάσωσι L.[2] p. et edd., καὶ λαβόντες ὑπὸ σοῦ σφρ. δ. v., nam sigillum a te acceperunt nec gratias egerunt ae. 18. ἐσπλαγχνίσθη (cf. Vis. III, 12, 3. Mand. IV, 3, 5) Gh. F., εὐσπλαγχνίσθη L.[2] ed. pr. Ti. Hg.[1] 20. ὑπὸ σητὸς L.[2] (σητὰς) et edd., velut a tinea v. p. 22. αὐτῶν errore om. Hg.[1] 25. καίπερ ἀκούσαντες v. p. (ae.) ed. pr. Hg.[1] Gh. F., καὶ παρακούσαντες L.[2] Ti. | ἐλάλησας v. ae. Gh. F., ἐλάλησεν L.[2] ed. pr. Ti., ἐλάλησα Hg.[1], quae eis ostensurus sum p.

ἐνετειλάμην· ἀπὸ τῶν τοιούτων ἡ ζωὴ ἀπέστη. [5]οἱ δὲ τὰς ξηρὰς καὶ ἀσήπτους ἐπιδεδωκότες, καὶ οὗτοι ἐγγὺς αὐτῶν· ἦσαν γὰρ ὑποκριταὶ καὶ διδαχὰς ξένας εἰσφέροντες καὶ ἐκστρέφοντες τοὺς δούλους τοῦ θεοῦ, μάλιστα δὲ τοὺς ἡμαρτηκότας, μὴ ἀφιέντες μετανοεῖν αὐτούς, ἀλλὰ ταῖς διδαχαῖς ταῖς μωραῖς πείθοντες αὐτούς. οὗτοι οὖν ἔχουσιν ἐλπίδα τοῦ μετανοῆσαι. [6]βλέπεις δὲ πολλοὺς ἐξ αὐτῶν καὶ μετανενοηκότας, ἀφ' ἧς ἐλάλησας αὐτοῖς τὰς ἐντολάς μου καὶ ἔτι μετανοήσουσιν. ὅσοι δὲ οὐ μετανοήσουσιν, ἀπώλεσαν τὴν ζωὴν αὐτῶν· ὅσοι δὲ μετενόησαν ἐξ αὐτῶν, ἀγαθοὶ ἐγένοντο, καὶ ἐγένετο ἡ κατοικία αὐτῶν εἰς τὰ τείχη τὰ πρῶτα. τινὲς δὲ καὶ εἰς τὸν πύργον ἀνέβησαν. βλέπεις οὖν', φησίν, ,ὅτι ἡ μετάνοια τῶν ἁμαρτωλῶν ζωὴν ἔχει, τὸ δὲ μὴ μετανοῆσαι θάνατον. VII. ὅσοι δὲ ἡμιξήρους ἐπέδωκαν καὶ ἐν αὐταῖς σχισμὰς εἶχον, ἄκουε καὶ περὶ αὐτῶν. ὅσων ἦσαν αἱ ῥάβδοι κατὰ τὸ αὐτὸ ἡμίξηροι, δίψυχοί εἰσιν· οὔτε γὰρ ζῶσιν, οὔτε τεθνήκασιν. [2]οἱ δὲ ἡμιξήρους ἔχοντες καὶ ἐν αὐταῖς σχισμάς, οὗτοι καὶ δίψυχοι καὶ κατάλαλοί εἰσιν, [ἀπόντας διαβάλλοντες] καὶ μηδέποτε εἰρηνεύοντες ἐν ἑαυτοῖς, ἀλλὰ διχοστατοῦντες πάντοτε. ἀλλὰ καὶ τούτοις' φησίν, ,ἐπίκειται μετάνοια. βλέπεις, ,φησί', τινὰς ἐξ αὐτῶν μετανενοηκότας. καὶ ἔτι', φησίν, ,ἐστὶν ἐν αὐτοῖς ἐλπὶς μετανοίας. [3]καὶ ὅσοι', φησίν, ,ἐξ αὐτῶν μετανενοήκασι, τὴν κατοικίαν εἰς τὸν πύργον ἔχουσιν. ὅσοι δὲ ἐξ αὐτῶν βραδύτερον μετανενοήκασιν, εἰς τὰ τείχη κατοικήσουσιν. ὅσοι δὲ οὐ μετανοοῦσιν, ἀλλ' ἐμμένουσι ταῖς πράξεσιν αὐτῶν, θανάτῳ ἀποθανοῦνται. [4]οἱ δὲ χλωρὰς ἐπιδεδωκότες τὰς ῥάβδους αὐτῶν καὶ σχισμὰς ἐχούσας, πάντοτε οὗτοι πιστοὶ καὶ ἀγαθοὶ ἐγένοντο, ἔχοντες δὲ ζῆλόν τινα ἐν ἀλλήλοις περὶ πρωτείων καὶ περὶ δόξης τινός· ἀλλὰ πάντες οὗτοι μωροί εἰσιν, ἐν ἀλλήλοις ἔχοντες ζῆλον περὶ πρωτείων. [5]ἀλλὰ καὶ οὗτοι ἀκούσαντες τῶν ἐντολῶν μου, ἀγαθοὶ ὄντες, ἐκαθάρισαν ἑαυτοὺς καὶ μετενόησαν ταχύ. ἐγένετο οὖν ἡ κατοίκησις

Sim. VIII, VI. 1. τοιούτων L.[2] p. ed. pr. Ti. Hg.[1], τοιούτων οὖν v. ae. Gh. F. | ἀπέστη (super η notato ην) L.[2] 2. ἀσήπτους edd., ἀσήπους L.[2] 7. μετανενοηκότας edd., μετανοηκότας L.[2] | ἀφ' ἧς Ti. Hg.[1] Gh. F., ἀφὴ ὡς (superscr. ἀφ' ἧς) L.[2], ἀφ' οὗ ed. pr. | ἐλάλησας v. p. Gh. F., ἐλάλησα L.[2] ed. pr. Ti. Hg.[1] 7. 8. τὰς ἐντολάς μου L.[2] v. p. (ae.) ed. pr. Ti. Gh. F., casu om. Hg.[1] 8. οὐ μετανοήσουσιν ed. pr. Hg.[1] Gh. F., οὐ μετανοήσωσιν L.[2] Ti. 12. τῶν ἁμαρτωλῶν v. p. ae. Gh. F., οἳ τῶν ἁμαρτ. L.[2], τὴν τῶν ἁμαρτ. ed. pr. Ti. Hg.[1]
VII. 14. 15. κατὰ τὸ αὐτὸ Ti. Hg.[1] Gh. F., καθὰ τὸ αὐτὸν L.[2], κατὰ τὸ ἥμισυ ed. pr., tantummodo v., om. p. ae. 17. ἀπόντας διαβάλλοντες v. (de absentibus detrahentes) p. (de absentibus enim detrahebant), ἀποῦσι λοιδορούμενοι Hg.[1], om. L.[2] ae. Gh. F. μηδέποτε v. p. ae. Hg.[1] Gh. F., μηδὲ L.[2] ed. pr. Ti. 20. ἐν αὐτοῖς ed. pr. Ti. Hg.[1] Gh. F., ἐν ἑαυτοῖς L.[2] 22. ἔχουσιν v. p. ae. Gh. F., ἕξουσιν L.[2], ἕξουσιν ed. pr. Ti. Hg.[1] 26. δὲ v. p. ae. Hg.[1] Gh. F., om. L.[2] ed. pr. Ti. 28. ζῆλον v. (aemulationem) p. (aemulationes) ae. (invidias) (ed. pr. Ti.) Hg.[1] Gh. F., om. L.[2] 29 sq. ἐκαθάρισαν edd., ἐκαθάρησαν L.[2]

αὐτῶν εἰς τὸν πύργον. ἐὰν δέ τις πάλιν ἐπιστρέψῃ εἰς τὴν διχοστασίαν, ἐκβληθήσεται ἀπὸ τοῦ πύργου καὶ ἀπολέσει τὴν ζωὴν
6 αὐτοῦ. [6]ἡ ζωὴ πάντων ἐστὶ τῶν τὰς ἐντολὰς τοῦ κυρίου φυλασσόντων· ἐν ταῖς ἐντολαῖς δὲ περὶ πρωτείων ἢ περὶ δόξης τινὸς οὐκ ἔστιν, ἀλλὰ περὶ μακροθυμίας καὶ περὶ ταπεινοφρονήσεως ἀνδρός. ἐν τοῖς τοιούτοις οὖν ἡ ζωὴ τοῦ κυρίου, ἐν τοῖς διχοστά-
1 ταις δὲ καὶ παρανόμοις θάνατος. VIII. οἱ δὲ ἐπιδεδωκότες τὰς ῥάβδους ἥμισυ μὲν χλωράς, ἥμισυ δὲ ξηράς, οὗτοί εἰσιν οἱ ἐν ταῖς πραγματείαις ἐμπεφυρμένοι καὶ μὴ κολλώμενοι τοῖς ἁγίοις.
2 διὰ τοῦτο τὸ ἥμισυ αὐτῶν ζῇ, τὸ δὲ ἥμισυ νεκρόν ἐστι. [2]πολλοὶ οὖν ἀκούσαντές μου τῶν ἐντολῶν μετενόησαν. ὅσοι γοῦν μετενόησαν, ἡ κατοικία αὐτῶν εἰς τὸν πύργον. τινὲς δὲ αὐτῶν εἰς τέλος ἀπέστησαν. οὗτοι οὖν μετάνοιαν οὐκ ἔχουσιν· διὰ γὰρ τὰς πραγματείας αὐτῶν ἐβλασφήμησαν τὸν κύριον καὶ ἀπηρνήσαντο ἀυτόν. ἀπώλεσαν οὖν τὴν ζωὴν αὐτῶν διὰ τὴν πονηρίαν, ἣν
3 ἔπραξαν. [3]πολλοὶ δὲ ἐξ αὐτῶν ἐδιψύχησαν. οὗτοι ἔτι ἔχουσι μετάνοιαν, ἐὰν ταχὺ μετανοήσωσι, καὶ ἔσται αὐτῶν ἡ κατοικία εἰς τὸν πύργον· ἐὰν δὲ βραδύτερον μετανοήσωσι, κατοικήσουσιν εἰς τὰ τείχη· ἐὰν δὲ μὴ μετανοήσωσι, καὶ αὐτοὶ ἀπώλεσαν τὴν
4 ζωὴν αὐτῶν. [4]οἱ δὲ τὰ δύο μέρη χλωρά, τὸ δὲ τρίτον ξηρὸν ἐπιδεδωκότες, οὗτοί εἰσιν οἱ ἀρνησάμενοι ποικίλαις ἀρνήσεσι. πολλοὶ οὖν μετενόησαν, [ἐξ αὐτῶν καὶ ἐγένετο ἡ κατοίκησις αὐτῶν εἰς τὸν πύργον, πολλοὶ δὲ εἰς τέλος ἀπέστησαν ἀπὸ τοῦ θεοῦ. οὗτοι οὖν εἰς τέλος ἀπώλεσαν τὴν ζωὴν αὐτῶν]. τινὲς δὲ ἐξ αὐτῶν ἐδιψύχησαν καὶ ἐδιχοστάτησαν. τούτοις οὖν ἐστὶ μετάνοια, ἐὰν ταχὺ μετανοήσωσι καὶ μὴ ἐπιμείνωσι τοῖς ἡδοναῖς αὐτῶν· ἐὰν δὲ ἐπιμείνωσι ταῖς πράξεσιν αὐτῶν, καὶ οὗτοι θάνατον ἑαυτοῖς
1 κατεργάζονται. IX. οἱ δὲ ἐπιδεδωκότες τὰς ῥάβδους, τὰ μὲν

Sim. VIII, VII. 4. ἐν ταῖς ἐντολαῖς δὲ L.[2] et edd., textus non est mancus (ed. pr. Ti.). 5. ταπεινοφρονήσεως (correctum e ταπεινοφρονήσει) L.[2] ed. pr. Ti. Gh. F., ταπεινοφροσύνης Hg.[1] 6 sq. διχοστάταις edd., διχοστάτοις L.[2]
VIII. 8. ἥμισυ μὲν χλωράς, ἥμισυ δὲ ξηράς L.[2] ae. et edd., ἥμισυ μὲν ξηράς, ἥμισυ δὲ χλωράς (cf. c. I, p. 95, 3) v. p. 9. ἐμπεφυρμένοι edd., ἐκπεφυρμένοι L.[2] 11. ὅσοι ae. et edd., ὅσον L.[2] 15. αὐτόν v. p. ae. Hg.[1] (in notis), λοιπόν (vel λοιποῦ, superscr. ad instar codicis) L.[2] et edd. 20. τὰ δύο μέρη χλωρά, τὸ δὲ τρίτον ξηρὸν (cf. c. I. p. 95, 6. 7) v. p. ae. Gh. F., τὰ δύο μέρη ξηρά, τὸ δὲ τρίτον (ξηρὸν del.) χλωρὸν L.[2] ed. pr. Ti. Hg.[1] 22—24. ἐξ αὐτῶν — τὴν ζωὴν αὐτῶν v. (ex his igitur multi egerunt poenitentiam atque in turri habitare coeperunt. et multi a deo in perpetuum recesserunt. hi igitur in totum amiserunt vitam) p. (ex his igitur multi egerunt poenitentiam atque in turre habitare coeperunt. et multi a deo in perpetuum recesserunt, qui et in finem amiserunt vitam) ae. (et multi ex iis poenitentiam egerunt et in turim ascenderunt et permanserunt. et multi in perpetuum abnegaverunt dominum. ii autem in perpetuum vitam suam perdiderunt) Hg. (Herm. lat. p. XI: καὶ εἰς τὸν πύργον κατοικεῖν ἤρξαντο. πολλοὶ δὲ ἀπὸ θεοῦ εἰς αἰῶνα ἀπέστησαν. οὗτοι οὖν τὴν ζωὴν ὅλως ἀπώλεσαν) Gh. (ἐξ αὐτῶν ante μετανοήσαν) F. (ut Gh.), om. L.[2] ed. pr. Ti. Hg.[1]

δύο μέρη ξηρά, τὸ δὲ τρίτον χλωρόν, οὗτοί εἰσι πιστοὶ μὲν γεγονότες, πλουτήσαντες δὲ καὶ γενόμενοι ἔνδοξοι παρὰ τοῖς ἔθνεσιν ὑπερηφανίαν μεγάλην ἐνεδύσαντο καὶ ὑψηλόφρονες ἐγένοντο καὶ κατέλιπον τὴν ἀλήθειαν καὶ οὐκ ἐκολλήθησαν τοῖς δικαίοις, ἀλλὰ
5 μετὰ τῶν ἐθνῶν συνέζησαν, καὶ αὕτη ἡ ὁδὸς ἡδυτέρα αὐτοῖς ἐφαίνετο· ἀπὸ δὲ τοῦ θεοῦ οὐκ ἀπέστησαν, ἀλλ' ἐνέμειναν τῇ πίστει, μὴ ἐργαζόμενοι δὲ τὰ ἔργα τῆς πίστεως. [2]πολλοὶ οὖν ἐξ αὐτῶν μετενόησαν, καὶ ἐγένετο ἡ κατοίκησις αὐτῶν ἐν τῷ πύργῳ. [3]ἕτεροι δὲ εἰς τέλος μετὰ τῶν ἐθνῶν συνζῶντες καὶ φθειρόμενοι
10 ταῖς κενοδοξίαις τῶν ἐθνῶν [ἀπὸ θεοῦ ἀπέστησαν ταῖς πράξεσι καὶ τοῖς ἔργοις δουλεύοντες] τῶν ἐθνῶν. οὗτοι μετὰ τῶν ἐθνῶν ἐλογίσθησαν. [4]ἕτεροι δὲ ἐξ αὐτῶν ἐδιψύχησαν μὴ ἐλπίζοντες σωθῆναι διὰ τὰς πράξεις ἃς ἔπραξαν. ἕτεροι δὲ ἐδιψύχησαν καὶ σχίσματα ἐν ἑαυτοῖς ἐποίησαν. τούτοις οὖν [καὶ] τοῖς διψυχήσασι
15 διὰ τὰς πράξεις αὐτῶν μετάνοια ἔτι ἐστίν· ἀλλ' ἡ μετάνοια αὐτῶν ταχινὴ ὀφείλει εἶναι, ἵνα ἡ κατοικία αὐτῶν γένηται εἰς τὸν πύργον. τῶν δὲ μὴ μετανοούντων, ἀλλ' ἐπιμενόντων ταῖς ἡδοναῖς ὁ θάνατος ἐγγύς. X. [1]οἱ δὲ τὰς ῥάβδους ἐπιδεδωκότες χλωράς, αὐτὰ δὲ τὰ ἄκρα ξηρὰ καὶ σχισμὰς ἔχοντα, οὗτοι πάντοτε ἀγαθοὶ
20 καὶ πιστοὶ καὶ ἔνδοξοι παρὰ τῷ θεῷ ἐγένοντο, ἐλάχιστον δὲ [ἐξή]μαρτον διὰ μικρὰς ἐπιθυμίας καὶ μικρὰ κατ' ἀλλήλων ἔχοντες. ἀλλ' ἀκούσαντές μου τῶν ῥημάτων τὸ πλεῖστον μέρος ταχὺ μετενόησαν, καὶ ἐγένετο ἡ κατοικία αὐτῶν εἰς τὸν πύργον. [2]τινὲς δὲ ἐξ αὐτῶν ἐδιψύχησαν, τινὲς δὲ διψυχήσαντες διχοστασίαν μείζονα
25 ἐποίησαν. ἐν τούτοις οὖν ἔτι ἐστὶ μετανοίας ἐλπίς, ὅτι ἀγαθοὶ πάντοτε ἐγένοντο· δυσκόλως δέ τις αὐτῶν ἀποθανεῖται. [3]οἱ δὲ τὰς ῥάβδους αὐτῶν ξηρὰς ἐπιδεδωκότες, ἐλάχιστον δὲ χλωρὸν ἐχούσας, [αὐτὸ τὸ ἄκρον], οὗτοί εἰσιν οἱ πιστεύσαντες μέν, τὰ δὲ ἔργα τῆς ἀνομίας ἐργαζόμενοι· οὐδέποτε δὲ ἀπὸ τοῦ θεοῦ
30 ἀπέστησαν καὶ τὸ ὄνομα ἡδέως ἐβάστασαν καὶ εἰς τοὺς οἴκους

Sim. VIII, IX. 2. πλουτήσαντες edd., πλουτίσαντες L.[2] 6. ἐφαίνετο (cf. Sim. IX, 6, 8) v. p. Hg.[1] (p. 176) Gh., ἐγένετο L.[2] (ae.?) ed. pr. Ti. Gh. F. | ἀπὸ L.[2] Ti. Hg.[1] Gh. F., ὑπὸ ed. pr. | ἐνέμειναν v. p. ae. Hg.[1] Gh. F., ἔμειναν L.[2] ed. pr. Ti. 7. δὲ v. p. (ae.) Gh., om. L.[2] ed. pr. Ti. Hg.[1] F. 9. συνζῶντες scripsi, συζῶντες L.[2] et edd. | φθειρόμενοι L.[2] v. (eversi) ed. pr. Ti. Hg.[1], ducti p. (ae.), πειθόμενοι Gh. F. 10. 11. uncis inclusa v. (a deo destiterunt nationum facinoribus et operibus servientes) p. (a deo destiterunt gentium factis operibusque servientes) ae. (et dominum dereliquerunt et opera gentium fecerunt) Hg.[1], ἀπέστησαν ἀπὸ τοῦ θεοῦ, δουλεύοντες ταῖς πράξεσι καὶ τοῖς ἔργοις Gh. F., ἐδιψύχησαν μὴ ἐλπίζοντες σωθῆναι διὰ τὰς πράξεις L.[2] ed. pr. Ti. 11. οὗτοι L.[2] ed. pr. Ti. Hg.[1], huiusmodi ergo homines v. p., hi autem ae., οὗτοι οὖν Gh. F. 14. καὶ v. (p.) Gh. F., om. L.[2] ae. ed. pr. Ti. Hg.[1] 16. γένηται edd., γένη L.[2]

X. 25. ἔτι ἐστὶ v. (etiam nunc spes est) p. (adhuc — est) (Ang.) Gh. F., ἔνεστι L.[2] ae. ed. pr. Ti. Hg.[1] 28. αὐτὸ τὸ ἄκρον (cf. c. I p. 95, 9) v. p. ae. Gh. (coniectura), om. L.[2] ed. pr. Ti. Hg.[1] Gh. (text.) F. | μέν v. p. Gh. F., μόνον L.[2] (ae?) ed. pr. Ti. Gh.

αὐτῶν ἡδέως ὑπεδέξαντο τοὺς δούλους τοῦ θεοῦ. ἀκούσαντες οὖν ταύτην τὴν μετάνοιαν ἀδιστάκτως μετενόησαν καὶ ἐργάζονται πᾶσαν ἀρετὴν καὶ δικαιοσύνην· [4] τινὲς δὲ ἐξ αὐτῶν καὶ [φονευόμενοι ἡδέως ἔπαθον], γινώσκοντες τὰς πράξεις αὐτῶν, ἃς ἔπραξαν. τούτων οὖν πάντων ἡ κατοικία εἰς τὸν πύργον ἔσται.'

XI. [1] Καὶ μετὰ τὸ συντελέσαι αὐτὸν τὰς ἐπιλύσεις πασῶν τῶν ῥάβδων λέγει μοι ,Ὕπαγε καὶ πᾶσιν λέγε ἵνα μετανοήσωσι, καὶ ζήσονται τῷ θεῷ. ὅτι ὁ κύριος ἔπεμψέ με σπλαγχνισθεὶς πᾶσι δοῦναι τὴν μετάνοιαν, καίπερ τινῶν μὴ ὄντων ἀξίων διὰ τὰ ἔργα αὐτῶν· ἀλλὰ μακρόθυμος ὢν ὁ κύριος θέλει τὴν κλῆσιν τὴν γενομένην διὰ τοῦ υἱοῦ αὐτοῦ σώζεσθαι'. [2] λέγω αὐτῷ ,Κύριε, ἐλπίζω ὅτι πάντες ἀκούσαντες αὐτὰ μετανοήσουσι. πείθομαι γὰρ ὅτι εἷς ἕκαστος τὰ ἴδια ἔργα ἐπιγνοὺς καὶ φοβηθεὶς τὸν θεὸν μετανοήσει'. [3] ἀποκριθείς μοι λέγει ,Ὅσοι', φησίν, ,ἐξ ὅλης καρδίας αὐτῶν [μετανοήσωσι καὶ] καθαρίσωσιν ἑαυτοὺς ἀπὸ τῶν πονηριῶν πασῶν τῶν προειρημένων καὶ μηκέτι μηδὲν προσθῶσι ταῖς ἁμαρτίαις αὐτῶν, λήψονται ἴασιν παρὰ τοῦ κυρίου τῶν προτέρων ἁμαρτιῶν, ἐὰν μὴ διψυχήσωσιν ἐπὶ ταῖς ἐντολαῖς ταύταις, καὶ ζήσονται τῷ θεῷ. [ὅσοι δέ', ,φησί, προσθῶσι ταῖς ἁμαρτίαις αὐτῶν καὶ ἀναστραφῶσιν ἐν ταῖς ἐπιθυμίαις τοῦ αἰῶνος τούτου, κατακρινοῦσιν ἑαυτοὺς εἰς θάνατον]. [4] σὺ δὲ πορεύου ἐν ταῖς ἐντολαῖς μου καὶ ζήσῃ [τῷ θεῷ, καὶ ὅσοι πορευθῶσιν ἐν αὐταῖς καὶ κατορθώσωνται, ζήσονται τῷ θεῷ]. [5] ταῦτά μοι δείξας καὶ λαλήσας πάντα λέγει μοι ,Τὰ δὲ λοιπά σοι δείξω μετ' ὀλίγας ἡμέρας'.

Sim. VIII, X. 3. ἀρετὴν καὶ δικαιοσύνην L.[2] ae. et edd., ἀρετὴν δικαιοσύνης v. p. 3. 4. φονευόμενοι ἡδέως ἔπαθον v. (morte obierunt et libenter patiuntur) p. (compressi libenter patiuntur) ae. (se ipsos afflixerunt) Hg.[1] (ἑκόντες pro ἡδέως) Gh. (θλιβόμενοι pro φον.) F. (ut Gh., sed om. praecedente καὶ), φοβοῦνται L.[2] ed. pr. Ti. 5. τούτων — ἔσται L.[2] ae. et edd., om. v. p.

XI. 8. ζήσονται v. ed. pr. Hg.[1] Gh. F., ζήσωνται L.[2] (p. ae.) Ti. | σπλαγχνισθεὶς (super σπ scr. ευ) L.[2] Ti. Hg.[1] Gh. F., εὐσπλαγχνισθεὶς ed. pr. 15. [μετανοήσωσι καὶ] καθαρίσωσιν v. p. ae. Gh. F., καθαρίσουσιν L.[2] Ti. Hg.[1], καθαρίσωσιν ed. pr. 16. πασῶν v. p. (ae.) Gh. F., αὐτῶν L.[2] ed. pr. Ti. Gh. 19—21. uncis inclusa v. (qui vero, inquit, adiecerint ad delicta sua et conversati fuerint in desideriis huius seculi, damnabunt se ad mortem) p. (qui vero ad delicta sua adiecerint et conversati fuerint in desideriis huius seculi, damnabunt se ad mortem) ae. (et omnes qui peccatis suis adiciunt et in concupiscentia huius seculi ambulant, morti se ipsos subditos faciunt) Hg. (Herm. lat. p. XI, οἱ δέ, φησίν, προστιθέντες ταῖς ἁμαρτίαις αὐτῶν καὶ ἀναστρεφόμενοι ἐν ταῖς ἐπιθυμίαις τοῦ αἰῶνος τούτου κατακρινοῦσιν ἑαυτοὺς εἰς θάνατον) Gh. (πορευθῶσιν pro ἀναστρ. et in fine θανάτῳ ἑαυτοὺς κατακρίνουσι) F. (ut Gh.), om. L.[2] ed. pr. Ti. Hg[1] 22. 23. καὶ ζήσῃ — ζήσονται τῷ θεῷ v. (et vives deo, et quicunque ambulaverint in his et ea recte exercuerint, vivent deo) p. (et cum deo vives, tu et quicunque in ipsis ambulaverint et ea exercuerint recte, vivent deo) ae. (et vives, et omnis, qui in iis ambulaverit et rectum fecerit, domino vivet) Hg. (Herm. lat. p. XI καὶ ζῆθι [τῷ θεῷ· καὶ ὅσοι πορεύσονται ἐν αὐταῖς καὶ ὀρθῶς αὐτὰς ἐργάσονται, ζήσονται τῷ θεῷ]) Gh. (ἐργάσωνται ὀρθῶς pro κατορθώσωνται) F. (ut Gh.), καὶ ζῆθι L.[2] ed. pr. Ti. Hg.[1]

Παραβολὴ θ'.

I. Μετὰ τὸ γράψαι με τὰς ἐντολὰς καὶ παραβολὰς τοῦ ποιμένος, τοῦ ἀγγέλου τῆς μετανοίας, ἦλθε πρός με καὶ λέγει μοι ,Θέλω σοι δεῖξαι ὅσα σοι ἔδειξε τὸ πνεῦμα τὸ ἅγιον τὸ λαλῆσαν μετὰ σοῦ ἐν μορφῇ τῆς Ἐκκλησίας· ἐκεῖνο γὰρ τὸ πνεῦμα ὁ υἱὸς τοῦ θεοῦ ἐστίν. [2]ἐπειδὴ γὰρ ἀσθενέστερος τῇ σαρκὶ ἦς, οὐκ ἐδηλώθη σοι δι' ἀγγέλου. ὅτε οὖν ἐνεδυναμώθης διὰ τοῦ πνεύματος, καὶ ἴσχυσας τῇ ἰσχύϊ σου, ὥστε δύνασθαί σε καὶ ἄγγελον ἰδεῖν. τότε μὲν οὖν ἐφανερώθη σοι διὰ τῆς Ἐκκλησίας ἡ οἰκοδομὴ τοῦ πύργου· καλῶς καὶ σεμνῶς πάντα ὡς ὑπὸ παρθένου ἑώρακας. νῦν δὲ ὑπὸ ἀγγέλου βλέπεις, διὰ τοῦ αὐτοῦ μὲν πνεύματος. [3]δεῖ δέ σε παρ' ἐμοῦ ἀκριβέστερον πάντα μαθεῖν· εἰς τοῦτο γὰρ καὶ ἐδόθην ὑπὸ τοῦ ἐνδόξου ἀγγέλου εἰς τὸν οἶκόν σου κατοικῆσαι, ἵνα δυνατῶς πάντα ἴδῃς, μηδὲν δειλαινόμενος, ὡς καὶ τὸ πρότερον'. [4]καὶ ἀπήγαγέ με εἰς τὴν Ἀρκαδίαν, εἰς ὄρος τι μαστῶδες καὶ ἐκάθισέ με ἐπὶ τὸ ἄκρον τοῦ ὄρους καὶ ἔδειξέ μοι πεδίον μέγα, κύκλῳ δὲ τοῦ πεδίου ὄρη δώδεκα, ἄλλην καὶ ἄλλην ἰδέαν ἔχοντα τὰ ὄρη. [5]τὸ πρῶτον ἦν μέλαν ὡς ἀσβόλη· τὸ δὲ δεύτερον ψιλόν, βοτάνας μὴ ἔχον· τὸ δὲ τρίτον ἀκανθῶν καὶ τριβόλων πλῆρες· [6]τὸ δὲ τέταρτον βοτάνας ἔχον ἡμιξήρους, τὰ μὲν ἐπάνω τῶν βοτανῶν χλωρά, τὰ δὲ πρὸς ταῖς ῥίζαις ξηρά· τινὲς δὲ βοτάναι, ὅταν ὁ ἥλιος ἐπικεκαύκει, ξηραὶ ἐγένοντο. [7]τὸ δὲ πέμπτον ὄρος ἔχον βοτάνας χλωρὰς καὶ τραχὺ ὄν. τὸ δὲ ἕκτον ὄρος σχισμῶν ὅλον ἔγεμεν, ὧν μὲν μικρῶν, ὧν δὲ μεγάλων· εἶχον δὲ βοτάνας αἱ σχισμαί· οὐ λίαν δὲ ἦσαν εὐθαλεῖς αἱ βοτάναι, μᾶλλον δὲ ὡς μεμαραμμέναι ἦσαν. [8]τὸ δὲ ἕβδομον ὄρος εἶχε βοτάνας ἱλαράς, καὶ ὅλον τὸ ὄρος εὐθηνοῦν ἦν, καὶ πᾶν γένος κτηνῶν καὶ ὀρνέων ἐνέμοντο εἰς τὸ ὄρος ἐκεῖνο· καὶ ὅσον ἐβόσκοντο τὰ κτήνη καὶ τὰ πετεινά, μᾶλλον καὶ μᾶλλον αἱ βοτάναι τοῦ ὄρους ἐκείνου ἔθαλλον. τὸ δὲ ὄγδοον ὄρος πηγῶν πλῆρες ἦν, καὶ πᾶν γένος τῆς κτίσεως τοῦ κυρίου ἐποτίζοντο ἐκ τῶν πηγῶν τοῦ ὄρους ἐκείνου.

Sim. IX, I. Παραβολὴ θ' v. p. ed. pr. Hg.[1] Gh. F., initium similitudinis ae., om. L.[2] Ti. 7. ὅτε οὖν L.[2] et edd., non ante-quam v., cum autem p., sed postquam ae. 7. 8. πνεύματος, καὶ scripsi, πνευμ. καὶ edd. 8. καὶ ἄγγελον v. p. (ae.) Hg.[1] (cf. Zeitschr. f. w. Th. 1858. p. 430. not.) Gh. F., οἱ ἄγγελοι L.[2] Ti., τοὺς ἀγγέλους ed. pr. 14. ὡς καὶ L.[2] ed. pr. Ti. Hg.[1], ut prius v. p., sicut antea ae., ὡς Gh. F. 15. Ἀρκαδίαν L.[2] (ante hoc voc. deleto καρδίαν) v. p. ae. (Marcadiam), Ἀρικίαν coniecit Th. Zahn (Hirt d. Hermas p. 215). 18. πρῶτον το (deleto το, scripto τῷ, superscr. τό) L.[2] 22. ἐπικεκαύκει L.[2] Gh. F., ἐπικαύσῃ ed. pr. Hg.[1], ἐπικαύσει Ti. | ἐγένοντο (cf. c. XXI, 1. XXII, 1) v. p. ae. Hg.[1] Gh. F., ἐγένοντο· τὸ δὲ ὄρος τραχὺ λίαν ἦν, βοτάνας ἔχον ξηράς L.[2] ed. pr. Ti. 26. μεμαραμμέναι (cf. Vis. III, 11, 2) Hg.[1] Gh. F., μεμαρασμέναι L.[2] ed. pr. Ti. 31. κτίσεως v. p. ae. et edd., κτήσεως L.[2]

[9]τὸ δὲ ἔννατον ὄρος [ὅλως οὐκ εἶχεν ὕδωρ καὶ ὅλον ἦν ἐρημῶδες, καὶ ἐν ἑαυτῷ εἶχεν ἑρπετὰ θανατώδη, διαφθείροντα τοὺς ἀνθρώπους. τὸ δὲ δέκατον ὄρος] εἶχε δένδρα μέγιστα καὶ ὅλον κατάσκιον ἦν, καὶ ὑπὸ τὴν σκέπην τῶν δένδρων πρόβατα κατέκειντο ἀναπαυόμενα καὶ μαρυκώμενα. [10]τὸ δὲ ἑνδέκατον ὄρος λίαν σύνδενδρον ἦν, καὶ τὰ δένδρα ἐκεῖνα κατάκαρπα ἦν, ἄλλοις καὶ ἄλλοις καρποῖς κεκοσμημένα, ἵνα ἰδών τις αὐτὰ ἐπιθυμήσῃ φαγεῖν ἐκ τῶν καρπῶν αὐτῶν. τὸ δὲ δωδέκατον ὄρος ὅλον ἦν λευκόν, καὶ ἡ πρόσοψις αὐτοῦ ἱλαρὰ ἦν· καὶ εὐπρεπέστατον ἦν ἐν αὐτῷ τὸ ὄρος.

1 II. εἰς μέσον δὲ τοῦ πεδίου ἔδειξέ μοι πέτραν μεγάλην λευκὴν ἐκ τοῦ πεδίου ἀναβεβηκυῖαν. ἡ δὲ πέτρα ὑψηλοτέρα ἦν τῶν ὀρέ-
2 ων, τετράγωνος, ὥστε δύνασθαι ὅλον τὸν κόσμον χωρῆσαι· [2]παλαιὰ δὲ ἦν ἡ πέτρα ἐκείνη, πύλην ἐκκεκομμένην ἔχουσα· ὡς πρόσφατος δὲ ἐδόκει μοι εἶναι ἡ ἐκκόλαψις τῆς πύλης. ἡ δὲ πύλη οὕτως ἔστιλβεν ὑπὲρ τὸν ἥλιον, ὥστε με θαυμάζειν ἐπὶ τῇ λαμ-
3 πηδόνι τῆς πύλης· [3]κύκλῳ δὲ τῆς πύλης ἐστήκεισαν παρθένοι δώδεκα. αἱ οὖν τέσσαρες αἱ εἰς τὰς γωνίας ἑστηκυῖαι ἐνδοξότεραί μοι ἐδόκουν εἶναι — καὶ αἱ ἄλλαι δὲ ἔνδοξοι ἦσαν — ἐστήκεισαν δὲ εἰς τὰ τέσσαρα μέρη τῆς πύλης, ἀνὰ μέσον αὐτῶν ἀνὰ
4 δύο παρθένοι. [4]ἐνδεδυμέναι δὲ ἦσαν λινοῦς χιτῶνας καὶ περιεζωσμέναι εὐπρεπῶς, ἔξω τοὺς ὤμους ἔχουσαι τοὺς δεξιοὺς ὡς μέλλουσαι φορτίον τι βαστάζειν. οὕτως ἕτοιμαι ἦσαν· λίαν γὰρ
5 ἱλαραὶ ἦσαν καὶ πρόθυμοι. [5]μετὰ τὸ ἰδεῖν με ταῦτα ἐθαύμαζον ἐν ἑαυτῷ, ὅτι μεγάλα καὶ ἔνδοξα πράγματα βλέπω. καὶ πάλιν διηπόρουν ἐπὶ ταῖς παρθένοις, ὅτι τρυφεραὶ οὕτως οὖσαι ἀνδρείως
6 ἐστήκεισαν ὡς μέλλουσαι ὅλον τὸν οὐρανὸν βαστάζειν. [6]καὶ λέγει μοι ὁ ποιμήν ,Τί ἐν σεαυτῷ διαλογίζῃ καὶ διαπορῇ καὶ σεαυτῷ λύπην ἐπισπᾶσαι; ὅσα γὰρ οὐ δύνασαι νοῆσαι, μὴ ἐπιχείρει ὡς

Sim. IX, II. 16. 17. Origenes Hom. XIII, 3 ad Ezech. infra ad c. XV p. 119, 28 sq. laudandus.

Sim. IX, I. 1. ἔννατον L.[2] Ti. Hg.[1] Gh. F., ἔνατον ed. pr. 1—3. uncis inclusa (cf. c. XXVI) v. (nullam omnino aquam habebat et totus destitutus erat, sed et mortiferos serpentes alebat et hominibus perniciosos. decimus mons) p. (nullam omnino aquam habebat totusque erat destitutus et mortiferas serpentes habebat hominibus omnibus pernitiosas. decimus mons) ae. (omnino non habebat aquam, totus erat vastus, et in eo erant ferae venenum hominibus letiferum habentes. decimus mons) Hg.[1] (l. 2 καταφθείροντα) Gh. F., om. L.[2] ed. pr. Ti. 5. μαρυκώμενα L.[2] Ti. Hg.[1] Gh. F., μηρυκώμενα ed. pr. 9. ἐν αὐτῷ (cf. l. 2. c. IX, 7. p. 114, 23. c. XXVI, 1) ed. pr. Ti. Hg.[1], ἐν αὐτῷ L.[2], ipse sibi v., sibique p., ipse ae., ἑαυτῷ (cf. Sim. II, 1 p. 76, 10) Gh. F.

II. 11. ἀναβεβηκυῖαν v. p. (ae.) Hg.[1] Gh. F., ἀναβεβηκέναι L.[2] ed. pr. Ti. 15 sq. λαμπηδόνι Hg.[1] Gh. F., λαμπιδόνι L.[2], λαμπρότητι ed. pr. Ti. 17. τέσσαρες Hg.[1], δ' L.[2] ed. pr. Ti. Gh. F. 19. τέσσαρα ed. pr. Hg.[1], τέσσερα L.[2] Ti. Gh. F. 22. ἕτοιμαι Hg.[1], ἕτοιμοι L.[2] ed. pr. Ti. Gh. F. 25. ἀνδρείως (super ως notato οι) L.[2] 28. δύνασαι v. p. ae. Hg.[1] Gh. F., δυνήσῃ (superscr. δύνασε) L.[2] ed. pr. Ti. | ὡς v. p. (Ang.) Hg.[1] Gh. F., om. L.[2] ed. pr. Ti.

συνετὸς ὤν, ἀλλ' ἐρώτα τὸν κύριον, ἵνα λαβὼν σύνεσιν νοῇς αὐτά. [7]τὰ ὀπίσω σου ἰδεῖν οὐ δύνῃ, τὰ δὲ ἔμπροσθέν σου βλέπεις. ἃ 7 οὖν ἰδεῖν οὐ δύνασαι, ἔασον καὶ μὴ στρέβλου σεαυτόν· ἃ δὲ βλέπεις, ἐκείνων κατακυρίευε καὶ περὶ τῶν λοιπῶν μὴ περιεργάζου·
5 πάντα δέ σοι ἐγὼ δηλώσω, ὅσα ἐάν σοι δείξω. ἔμβλεπε οὖν τοῖς λοιποῖς'.

III. Εἶδον ἓξ ἄνδρας ἐληλυθότας ὑψηλοὺς καὶ ἐνδόξους καὶ 1 ὁμοίους τῇ ἰδέᾳ, καὶ ἐκάλεσαν πλῆθός τι ἀνδρῶν. κἀκεῖνοι δὲ οἱ ἐληλυθότες ὑψηλοὶ ἦσαν ἄνδρες καὶ καλοὶ καὶ δυνατοί, καὶ ἐκέλευ-
10 σαν αὐτοὺς οἱ ἓξ ἄνδρες οἰκοδομεῖν ἐπάνω τῆς πέτρας καὶ ἐπάνω τῆς πύλης πύργον τινά. ἦν δὲ θόρυβος τῶν ἀνδρῶν ἐκείνων μέγας τῶν ἐληλυθότων οἰκοδομεῖν τὸν πύργον ὧδε κἀκεῖσε περιτρεχόντων κύκλῳ τῆς πύλης· [2]αἱ δὲ παρθένοι, αἳ ἑστήκεισαν κύκλῳ 2 τῆς πύλης, ἔλεγον τοῖς ἀνδράσι σπεύδειν τὸν πύργον οἰκοδο-
15 μεῖσθαι. ἐκπεπετάκεισαν δὲ τὰς χεῖρας αἱ παρθένοι ὡς μέλλουσαί τι λαμβάνειν παρὰ τῶν ἀνδρῶν. [3]οἱ δὲ ἓξ ἄνδρες ἐκέλευον ἐκ 3 βυθοῦ τινὸς λίθους ἀναβαίνειν καὶ ὑπάγειν εἰς τὴν οἰκοδομὴν τοῦ πύργου. ἀνέβησαν δὲ λίθοι δέκα τετράγωνοι λαμπροί, μὴ λελατομημένοι. [4]οἱ δὲ ἓξ ἄνδρες ἐκάλουν τὰς παρθένους καὶ ἐκέλευσαν 4
20 αὐτὰς τοὺς λίθους πάντας τοὺς μέλλοντας εἰς τὴν οἰκοδομὴν ὑπάγειν τοῦ πύργου βαστάζειν καὶ διαπορεύεσθαι διὰ τῆς πύλης καὶ ἐπιδιδόναι τοῖς ἀνδράσι τοῖς μέλλουσιν οἰκοδομεῖν τὸν πύργον. [5]αἱ δὲ παρθένοι τοὺς δέκα λίθους τοὺς πρώτους τοὺς ἐκ τοῦ βυ- 5 θοῦ ἀναβάντας ἐπετίθουν ἀλλήλαις καὶ καθ' ἕνα λίθον ἐβάσταζον
25 ὁμοῦ. IV. καθὼς δὲ ἐστάθησαν ὁμοῦ κύκλῳ τῆς πύλης, οὕτως 1 ἐβάσταζον αἱ δοκοῦσαι δυναταὶ εἶναι καὶ ὑπὸ τὰς γωνίας τοῦ λίθου ὑποδεδυκυῖαι ἦσαν· αἱ δὲ ἄλλαι ἐκ τῶν πλευρῶν τοῦ λίθου ὑποδεδύκεισαν. καὶ οὕτως ἐβάσταζον πάντας τοὺς λίθους· διὰ δὲ τῆς πύλης ἔφερον αὐτούς, καθὼς ἐκελεύσθησαν, καὶ ἐπεδίδουν
30 τοῖς ἀνδράσιν εἰς τὸν πύργον· [2]ἐκεῖνοι δὲ ἔχοντες τοὺς λίθους 2 ᾠκοδόμουν. ἡ οἰκοδομὴ δὲ τοῦ πύργου ἐγένετο ἐπὶ τὴν πέτραν τὴν μεγάλην καὶ ἐπάνω τῆς πύλης. ἡρμόσθησαν οἱ δέκα λίθοι

Sim. IX, II. 1. σύνεσιν (praecedente voc. τὴν lineola subnotato) L.[2] Gh. F., τὴν σύνεσιν ed. pr. Ti. Hg.[1] 5. ἐάν L.[2] ed. pr. Ti. Gh. F., ἄν Hg.[1] | ἔμβλεπε (cf. Vis. III, 8, 2) v. p. ae. Hg.[1] Gh. F., ἔκβαλε L.[2] ed. pr. Ti.
III. 10. 11. καὶ ἐπάνω τῆς πύλης (cf. c. IV, 2) v. p. Gh. F., om. L.[2] ae. ed. pr. Ti. Hg.[1] 13. αἳ v. p. ae. ed. pr. Hg.[1] Gh. F., om. L.[2] Ti. 17. βυθοῦ edd., βυθόν L.[2] (ut videtur). 18. δέκα Hg.[1], ι L.[2] ed. pr. Ti. Gh. F. | μὴ ed. pr. Ti. Hg.[1] Gh. F., om. L[2]. v. ae., sed cf. Vis. III, 5, 3. 5. Sim. IX, 5, 3. 16, 7. 24. ἐπετίθουν p. (ae.) Ti. Hg.[1] Gh. F., ἐπήνυον L.[2], ἐδείκνυον ed. pr. | καθ' ἕνα Hg.[1], κατὰ ἕνα L.[2] ed. pr. Ti. Gh. F.
IV. 30. ἔχοντες L.[2] et edd., excipientes v. (p.) ae. „fort. λαβόντες legendum" Gh. 32. ἡρμόσθησαν L.[2] ed. pr. Ti. Hg.[1], ἡρμόσθησαν [οὖν] Gh. F., ergo add. p., autem add. v. ae. | δέκα v. p. ae. Hg.[1], ι ed. pr. Ti. Gh. F., om. L.[2]

ἐκεῖνοι [καὶ ἀνέπλησαν ὅλην τὴν πέτραν, αὐτοὶ δὲ ἐγένοντο] θεμέλιον τῆς οἰκοδομῆς τοῦ πύργου. ἡ δὲ πέτρα καὶ ἡ πύλη ἦν βαστάζουσα ὅλον τὸν πύργον. 3 [3]μετὰ δὲ τοὺς δέκα λίθους ἄλλοι ἀνέβησαν ἐκ τοῦ βυθοῦ εἰκοσι[πέντε] λίθοι. καὶ οὗτοι ἡρμόσθησαν εἰς τὴν οἰκοδομὴν τοῦ πύργου, βασταζόμενοι ὑπὸ τῶν παρθένων, καθὼς καὶ οἱ πρότερον. μετὰ δὲ τούτους ἀνέβησαν τριακονταπέντε. καὶ οὗτοι ὁμοίως ἡρμόσθησαν εἰς τὸν πύργον. μετὰ δὲ τούτους ἕτεροι ἀνέβησαν λίθοι τεσσαράκοντα· καὶ οὗτοι πάντες ἐβλήθησαν εἰς τὴν οἰκοδομὴν τοῦ πύργου, [καὶ ἐγένοντο στοῖχοι τέσσαρες ἐν τῷ θεμελίῳ τοῦ πύργου]. 4 [4]καὶ ἐπαύσαντο [οἱ λίθοι] ἐκ τοῦ βυθοῦ ἀναβαίνοντες· ἐπαύσαντο δὲ καὶ οἱ οἰκοδομοῦντες μικρόν. καὶ πάλιν ἐπέταξαν οἱ ἕξ ἄνδρες τῷ πλήθει τοῦ ὄχλου ἐκ τῶν ὀρέων παραφέρειν λίθους εἰς τὴν οἰκοδομὴν τοῦ πύργου. 5 [5]παρεφέροντο οὖν ἐκ πάντων τῶν ὀρέων [λίθοι] χρόαις ποικίλαις καὶ λελατομημένοι ὑπὸ τῶν ἀνδρῶν ἐπεδίδοντο ταῖς παρθένοις· αἱ δὲ παρθένοι διέφερον αὐτοὺς διὰ τῆς πύλης καὶ ἐπεδίδουν εἰς τὴν οἰκοδομὴν τοῦ πύργου. καὶ ὅταν εἰς τὴν οἰκοδομὴν ἐτέθησαν, οἱ λίθοι οἱ ποικίλοι ὅμοιοι ἐγένοντο λευκοὶ καὶ τὰς χρόας τὰς ποικίλας ἤλλασσον. 6 [6]τινὲς δὲ λίθοι ἐπεδίδοντο ὑπὸ τῶν ἀνδρῶν εἰς τὴν οἰκοδομὴν καὶ οὐκ ἐγίνοντο λαμπροί, ἀλλ' οἷοι ἐτέθησαν, τοιοῦτοι καὶ εὑρέθησαν· οὐ γὰρ ἦσαν ὑπὸ τῶν παρθένων ἐπιδεδομένοι οὐδὲ διὰ τῆς πύλης παρενηνεγμένοι. οὗτοι οὖν οἱ λίθοι ἀπρεπεῖς ἦσαν ἐν τῇ οἰκοδομῇ τοῦ πύργου. 7 [7]ἰδόντες δὲ οἱ ἕξ

Sim. IX, IV. 1. uncis inclusa v. (horum autem decem lapidum structura totam portam [l. petram] illam replevit, quae in fundamento turris eius esse coepit) p. (et impleverunt totam petram, ipsi autem in fundamento turris positi sunt) ae. (et repleverunt illam rupem totam et facti sunt fundamentum), καὶ ἐνέπλησαν ὅλην τὴν πέτραν, καὶ ἐγένοντο ἐκεῖνοι Gh. F., om. L.[2] ed. pr. Ti. Hg.[1] 4. εἰκοσι[πέντε] v. p. Hg.[1], κ' (εἴκοσι) L.[2], quindecim ae., κ[έ] ed. pr. Ti. Gh. F. 6. πρότερον edd., πρότεροι (super οι notato ον) L.[2] 6. 7. τριακονταπέντε Hg.[1], λέ ed. pr. Ti. Gh. F. 8. τεσσαράκοντα Hg.[1], μ' L.[2] ed. pr. Ti. Gh. F. 9. 10. uncis inclusa v. (IV ergo ordines coeperunt esse in fundamento [fundamentis var. l.] turris huius) p. (et facti sunt ordines IV in fundamentis turris) ae. (et facti sunt IV parietes [τοῖχοι pro στοῖχοι legi vidit M. Schmidt] eius) Hg.[1] Gh. (ἐγένοντο οὖν στοῖχοι τέσσαρες ἐν τοῖς θεμελίοις τ. π.) F. (ut Gh.), om. L.[2] ed. pr. Ti. 10. οἱ λίθοι v. p. ae. (Gh. coniecit), om. L.[2] et edd. 14. 15. παρεφέροντο οὖν ἐκ πάντων τῶν ὀρέων [λίθοι] χρόαις ποικίλαις καὶ λελατομημένοι ὑπὸ τῶν ἀνδρῶν ἐπεδίδοντο ταῖς παρθένοις Hg.[1] (om. λίθοι), illi autem excidebant (cf. λελατομημένοι) de universis montibus lapides variis coloribus et apportantes (adportatos var. l., respondet voc. παρεφέροντο) eos porrigebant virginibus v.; transferebantur ergo ex omnibus montibus lapides coloribus variis et dolati a viris illis porrigebantur virginibus p., et rursus iusserunt isti viri illos homines multos adportare lapides variorum colorum ad aedificationem turris ex omnibus montibus. et dolaverunt eos isti viri et dederunt virginibus ae., παρεφέροντο οὖν ἐκ πάντων τῶν ὀρέων (om. λίθοι) χρόαις ποικ. λελατομημένοι ὑπὸ τῶν ἀνδρῶν καὶ ἐπεδίδ. τ. π. L.[2] ed. pr. Ti. Gh. F., (neque favente ae., neque iubente v., vetante vero p.). 19. ἤλλασσον edd., ἤλασσον L.[2] 20. ἀλλ' οἷοι ed. pr. (p. 111) Ti. Hg.[1] Gh. F., ἀλλοί οἵ (superscr. ἀλλ' ὡς) L.[2] 21. ὑπὸ ed. pr. Hg.[1] Gh. F., ἀπὸ L.[2] Ti.

ἄνδρες τοὺς λίθους τοὺς ἀπρεπεῖς ἐν τῇ οἰκοδομῇ ἐκέλευσαν αὐτοὺς ἀρθῆναι καὶ ἀπενεχθῆναι εἰς τὸν ἴδιον τόπον, ὅθεν ἠνέχθησαν. [8][καὶ] λέγουσι τοῖς ἀνδράσι τοῖς παρεκφέρουσι τοὺς λίθους ,Ὅλως ὑμεῖς μὴ ἐπιδίδοτε εἰς τὴν οἰκοδομὴν λίθους· τίθετε δὲ αὐτοὺς παρὰ τὸν πύργον, ἵνα αἱ παρθένοι διὰ τῆς πύλης παρενέγκωσιν αὐτοὺς καὶ ἐπιδιδῶσιν εἰς τὴν οἰκοδομήν. ἐὰν γάρ', φασίν, ,διὰ τῶν χειρῶν τῶν παρθένων τούτων μὴ παρενεχθῶσι διὰ τῆς πύλης, τὰς χρόας αὐτῶν ἀλλάξαι οὐ δύνανται· μὴ κοπιᾶτε οὖν', φασίν, ,εἰς μάτην'.

V. Καὶ ἐτελέσθη τῇ ἡμέρᾳ ἐκείνῃ ἡ οἰκοδομή, οὐκ ἀπετελέσθη δὲ ὁ πύργος· ἔμελλε γὰρ πάλιν ἐποικοδομεῖσθαι, καὶ ἐγένετο ἀνοχὴ τῆς οἰκοδομῆς. ἐκέλευσαν δὲ οἱ ἓξ ἄνδρες τοὺς οἰκοδομοῦντας ἀναχωρῆσαι μικρὸν πάντας καὶ ἀναπαῆναι· ταῖς δὲ παρθένοις ἐπέταξαν ἀπὸ τοῦ πύργου μὴ ἀναχωρῆσαι. ἐδόκει δέ μοι τὰς παρθένους καταλελεῖφθαι τοῦ φυλάσσειν τὸν πύργον. [2]μετὰ δὲ τὸ ἀναχωρῆσαι πάντας καὶ ἀναπαῆναι λέγω τῷ ποιμένι ,Τί ὅτι', φημί, ,κύριε' οὐ συνετελέσθη ἡ οἰκοδομὴ του πύργου'; ,Οὔπω', φησί, ,δύναται ἀποτελεσθῆναι ὁ πύργος, ἐὰν μὴ ἔλθῃ ὁ κύριος αὐτοῦ καὶ δοκιμάσῃ τὴν οἰκοδομὴν ταύτην, ἵνα ἐάν τινες λίθοι σαπροὶ εὑρεθῶσιν, ἀλλάξῃ αὐτούς· πρὸς γὰρ τὸ ἐκείνου θέλημα οἰκοδομεῖται ὁ πύργος'. [3],Ἤθελον', φημί, ,κύριε, τούτου τοῦ πύργου γνῶναι τί ἔστιν ἡ οἰκοδομή, καὶ περὶ τῆς πέτρας καὶ πύλης καὶ τῶν ὀρέων καὶ τῶν παρθένων καὶ τῶν λίθων τῶν ἐκ τοῦ βυθοῦ ἀναβεβηκότων καὶ μὴ λελατομημένων, ἀλλ' οὕτως ἀπελθόντων εἰς τὴν οἰκοδομήν, [4]καὶ διὰ τί πρῶτον εἰς τὰ θεμέλια δέκα λίθοι ἐτέθησαν, εἶτα εἰκοσιπέντε, εἶτα τριακονταπέντε, εἶτα τεσσαράκοντα, καὶ περὶ τῶν λίθων τῶν ἀπεληλυθότων εἰς τὴν οἰκοδομὴν καὶ πάλιν ἠρμένων καὶ εἰς τόπον ἴδιον ἀποτεθειμένων· περὶ πάντων τούτων ἀνάπαυσον τὴν ψυχήν μου, κύριε, καὶ γνώρισόν

Sim. IX, IV. 2. ἀπενεχθῆναι v. p., ἀπηχθῆναι ae., ἀπηχθῆναι κάτω L.[2] Hg.[1], ἀπενεχθῆναι κάτω v. ed. pr. Ti. Gh. F. 2 sq. ἠνέχθησαν v. p. (ae.) et edd., ἠνεψχθησαν L.[2] 3. [καὶ] v. ae. Gh. F., lacuna IV punctis notata in L.[2], translatique unumquemque deposuerunt (ἀπέθεσαν) p., [καὶ μετενεχθέντες καθ' ἕνα ἀπετέθησαν. καὶ] Hg.[1] (cf. c. VI, 5. p. 111, 3 sq.). 3. τοῖς παρεκφέρουσι edd., τοῖς τότε (deleto τότε, superscr. ἐκτὸς ἢ κύριος, sed etiam his deletis) παρεκφ. L.[2] 4. ὅλως v. p. ae. et edd., ὅλους L.[2] (ὅλας sec. Ang.). | τίθετε ex τίθεται correctum esse videtur in L.[2] 6. φασίν edd., φησίν L.[2], om. v. p. ae. 8. κοπιᾶτε edd., κοπιᾶται L.[2]

V. 13. ἀναπαῆναι (cf. Vis. I, 3, 3. III, 9, 1) hic et l. 16. scripsi, ἀναπαυθῆναι L.[2] et edd. 20. πρὸς (superscr. παρὰ) L.[2] 22. ἡ οἰκοδομή v. p. ae., ἡ οἰκοδομὴ αὕτη L.[2] et edd. 24. οὕτως (superscr. οὐ τῶν) L.[2] 25. καὶ L.[2] v. p. Gh. F., om. ed. pr. Ti. Hg.[1] Simonides add.: πάλιν ἠρμένων εἰς τὸν τόπον ἴδιον (cf. l. 28), sed haec delevit, voc. τὸν iam antea expuncto. 25. δέκα v. p. ae. Hg.[1], οἱ L.[2], ἱ ed. pr. Ti. Gh. F. 26. εἰκοσιπέντε v. p. Hg.[1], κύριε L.[2], quindecim ae., κέ ed. pr. Ti. Gh. F. | τριακονταπέντε v. p. Hg.[1], λί L.[2] (cf. Gh.), triginta ae., λέ ed. pr. Ti. Gh. F. 26 sq. τεσσαράκοντα Hg.[1], μ' ed. Ti. Gh. F.

5 μοι αὐτά‘. [5]‚Ἐάν‘, φησί, ‚κενόσπουδος μὴ εὑρεθῇς, πάντα γνώσῃ,
μετ' ὀλίγας γὰρ ἡμέρας [ἐλευσόμεθα ἐνθάδε, καὶ τὰ λοιπὰ ὄψει
τὰ ἐπερχόμενα τῷ πύργῳ τούτῳ καὶ πάσας τὰς παραβολὰς ἀκρι-
6 βῶς γνώσῃ‘. [6]μετ' ὀλίγας ἡμέρας] ἤλθομεν εἰς τὸν τόπον, οὗ
κεκαθίκαμεν. καὶ λέγει μοι ‚Ἄγωμεν πρὸς τὸν πύργον· ὁ γὰρ
αὐθέντης τοῦ πύργου ἔρχεται κατανοῆσαι αὐτόν‘. καὶ ἤλθομεν
πρὸς τὸν πύργον. καὶ ὅλως οὐθεὶς ἦν πρὸς αὐτὸν εἰ μὴ αἱ παρ-
7 θένοι μόναι, [7]καὶ ἐπερωτᾷ ὁ ποιμὴν τὰς παρθένους, εἰ ἄρα πα-
ραγεγόνει ὁ δεσπότης τοῦ πύργου. αἱ δὲ ἔφησαν μέλλειν αὐτὸν
1 ἔρχεσθαι κατανοῆσαι τὴν οἰκοδομήν. VI. καὶ ἰδοὺ μετὰ μικρὸν
βλέπω παράταξιν πολλῶν ἀνδρῶν ἐρχομένων. καὶ εἰς τὸ μέσον
2 ἀνήρ τις ὑψηλὸς τῷ μεγέθει, ὥς τὸν πύργον ὑπερέχειν. [2]καὶ οἱ
ἓξ ἄνδρες οἱ εἰς τὴν οἰκοδομὴν [ἐπιτάξαντες ἐκ δεξιῶν καὶ ἀριστε-
ρῶν μετ' αὐτοῦ περιεπάτουν, καὶ πάντες οἱ εἰς τὴν οἰκοδομὴν]
ἐργασάμενοι μετ' αὐτοῦ ἦσαν, καὶ ἕτεροι πολλοὶ κύκλῳ αὐτοῦ ἔν-
δοξοι. αἱ δὲ παρθένοι αἱ τηροῦσαι τὸν πύργον προσδραμοῦσαι
κατεφίλησαν αὐτὸν καὶ ἤρξαντο ἐγγὺς αὐτοῦ περιπατεῖν κύκλῳ
3 τοῦ πύργου. [3]κατενόει δὲ ὁ ἀνὴρ ἐκεῖνος τὴν οἰκοδομὴν ἀκριβῶς,
ὥστε αὐτὸν καθ' ἕνα λίθον ψηλαφᾶν. κρατῶν δέ τινα ῥάβδον τῇ
4 χειρὶ καθ' ἕνα λίθον τῶν ᾠκοδομημένων τρὶς ἔτυπτε· [4]καὶ ὅταν
ἐπάτασσεν, ἐγένοντο αὐτῶν τινὲς μέλανες ὡσεὶ ἀσβόλη, τινὲς δὲ
ἐψωριακότες, τινὲς δὲ σχισμὰς ἔχοντες, τινὲς δὲ κολοβοί, τινὲς
δὲ οὔτε λευκοὶ οὔτε μέλανες, τινὲς δὲ τραχεῖς καὶ μὴ συμφωνοῦν-

Sim. IX, VI. 11 sq. 4 Ezr. II, 43: et in medio eorum erat iuvenis statura celsus, eminentior omnibus illis.

Sim. IX, V. 2. μετ' ὀλίγας γὰρ ἡμέρας L.[2] p. ae. et edd., om. v. (codd. pler.). 2—4. uncis inclusa v. (veniemus huc, et videbis reliqua quae futura sunt huic turri, et omnes similitudines diligenter cognosces. et venimus post paucos dies) p. (veniemus huc, et reliqua videbis, quae futura sunt huic turri, omnesque similitudines diligenter cognosces. unde cum postea, ut dixit, venissemus) ae. (veniemus huc, et quod reliquum est videbis, et quae futura sunt turri, et omnes eius similitudines exacte cognosces. et post paucos dies) Hg.[1] Gh. (add. l. 4 καὶ ante μετ') F. (ut Gh.), om. L.[2] (propter homoeotel.) ed. pr. Ti. 5. πρὸς v. p. ae. Hg.[1] Gh. F., παρὰ (superscr. πρὸς) L.[2] ed. pr. Ti. 6. αὐθέντης v. p. ae. Ti. Hg.[1] Gh. F., αὖθις (superscr. εὐθύς, sed compendio ad instar codicis addito αὐθέντης) L.[2], κύριος ed. pr. 7. οὐθεὶς (correctum ex οὐδείς) L.[2] Gh. F., οὐδεὶς ed. pr. Ti. Hg.[1]

VI. 12. ὡς L.[2] ed. pr. Ti., ut v. p., ὥστε Hg.[1] Gh. F. sed apud hos scriptores ὡς saepe idem valet quod ὥστε. 13. 14. uncis inclusa v. (quos in ea aedificatione videram imperare, et eos omnes, qui aedificaverunt turrem illam) p. (quos in aedificatione videram ante imperare, dextra atque sinistra cum illo ambulantes; omnes ergo hi, qui in structura fuerant operati) ae. (qui praepositi erant in aedificatione, ibant cum illo a dextra et sinistra eius et illi quoque viri, qui in aedificatione laborabant) Gh. (ἐφεστῶτες, ἐκ δεξιῶν τε καὶ ἀριστερῶν περιεπάτησαν μετ' αὐτοῦ, καὶ πάντες οἱ εἰς τὴν οἰκοδομὴν) F. (ut Gh.), om. L.[2] (propter homoeotel.) ed. pr. Ti. Hg.[1] confero c. IV. p. 108, 12 ἐπέταξαν (imperaverunt v.). V. p. 109, 14. 17. ἤρξαντο v. p. ae. et edd., ἤρξατο L.[2] 20. τρὶς L.[2] ed. pr. Ti. Hg.[1], om. v. p. ae. Gh. F. 21. ἀσβόλην (ν linea subnotato) L.[2]

τες τοῖς ἑτέροις λίθοις, τινὲς δὲ σπίλους [πλείστους] ἔχοντες· αὗται ἦσαν αἱ ποικιλίαι τῶν λίθων τῶν σαπρῶν εὑρεθέντων εἰς τὴν οἰκοδομήν. [5]ἐκέλευσεν οὖν πάντας τούτους ἐκ τοῦ πύργου μετενεχθῆναι καὶ τεθῆναι παρὰ τὸν πύργον καὶ ἑτέρους ἐνεχθῆναι λίθους καὶ ἐμβληθῆναι εἰς τὸν τόπον αὐτῶν. [6][καὶ ἐπηρώτησαν αὐτὸν οἱ οἰκοδομοῦντες, ἐκ τίνος ὄρους θέλοι ἐνεχθῆναι καὶ ἐμβληθῆναι εἰς τὸν τόπον αὐτῶν]. καὶ ἐκ μὲν τῶν ὀρέων οὐκ ἐκέλευσεν ἐνεχθῆναι, [ἐκ δέ τινος πεδίου ἐγγὺς ὄντος ἐκέλευσεν ἐνεχθῆναι]. [7]καὶ ὠρύγη τὸ πεδίον, καὶ εὑρέθησαν λίθοι λαμπροὶ τετράγωνοι, τινὲς δὲ καὶ στρογγύλοι. ὅσοι δέ ποτε ἦσαν λίθοι ἐν τῷ πεδίῳ ἐκείνῳ, πάντες ἠνέχθησαν καὶ διὰ τῆς πύλης ἐβαστάζοντο ὑπὸ τῶν παρθένων. [8]καὶ ἐλατομήθησαν οἱ τετράγωνοι λίθοι καὶ ἐτέθησαν εἰς τὸν τόπον τῶν ἠρμένων· οἱ δὲ στρογγύλοι οὐκ ἐτέθησαν εἰς τὴν οἰκοδομήν, ὅτι σκληροὶ ἦσαν εἰς τὸ λατομηθῆναι αὐτούς, καὶ βραδέως ἐφαίνοντο [περικοπῆναι]. ἐτέθησαν δὲ παρὰ τὸν πύργον, ὡς μελλόντων αὐτῶν λατομεῖσθαι καὶ τίθεσθαι εἰς τὴν οἰκοδομήν· λίαν γὰρ λαμπροὶ ἦσαν. VII. [1]Ταῦτα οὖν συντελέσας ὁ ἀνὴρ ὁ ἔνδοξος καὶ κύριος ὅλου τοῦ πύργου προσεκαλέσατο τὸν ποιμένα καὶ παρέδωκεν αὐτῷ τοὺς λίθους πάντας τοὺς παρὰ τὸν πύργον κειμένους, τοὺς ἀποβεβλημένους ἐκ τῆς οἰκοδομῆς, καὶ λέγει αὐτῷ [2]'Ἐπιμελῶς καθάρισον τοὺς λίθους πάντας καὶ θὲς αὐτοὺς εἰς τὴν οἰκοδομὴν τοῦ πύργου, τοὺς δυναμένους ἁρμόσαι τοῖς λοιποῖς, τοὺς δὲ μὴ ἁρμόζοντας ῥῖψον μακρὰν ἀπὸ τοῦ πύργου'. [3][ταῦτα κελεύσας τῷ ποιμένι ἀπῄει ἀπὸ τοῦ πύργου] μετὰ πάντων, [μεθ'] ὧν ἐληλύθει. αἱ δὲ παρθένοι κύκλῳ

Sim. IX, VI. 1. σπίλους [πλείστους] v. p., [πλείστους] σπίλους Hg.[1], σπίλους L.[2] ed. pr. Ti., σπίλους [πολλοὺς] ae. Gh. F. 5. ἐμβληθῆναι v. p. ae. Hg.[1] Gh. F., ἐκβληθῆναι L.[2] ed. pr. Ti. 6. 7. uncis inclusa v. (et interrogaverunt eum qui aedificabant, ex quo monte vellet afferri et reponi in loco eiectorum) p. (interrogaverunt autem illi qui aedificabant, ex quo monte iuberet ille dignitosus lapides adferri et in loco eorum poni) ae. (et dixerunt ei qui aedificabant: An ex monte vis adportari lapides, quos loco eorum in structuram turris inseramus) Hg.[1] (κελεύοι pro θέλοι et τεθῆναι pro ἐμβληθῆναι) Gh. (θέλῃ pro θέλοι et λίθους post ἐνεχθῆναι) F. (ut Gh.), om. L.[2] (propter homoeotel.) ed. pr. Ti. 8. 9. ἐκ δέ — ἐνεχθῆναι v. (sed ex campo quodam, qui prope erat, iussit adportari) p. (sed iussit ex eo campo, qui prope erat, adferri) ae. (sed e montibus e proximo iussit apportare) Hg.[1] (ὃ ἐγγὺς ἦν) Gh. F., om. L.[2] (propter homoeotel.) ed. pr. Ti. 9. λίθοι L.[2] v. ae. et edd., λίθοι ἱ p. 10. δέ ποτε L.[2] Ti. Hg.[1] Gh. F., δήποτε ed. pr. 11. ἠνέχθησαν (super η pr. notato ε) L.[2] 14. 15. ὅτι σκληροὶ ἦσαν εἰς τὸ λατομηθῆναι αὐτούς, καὶ βραδέως ἐφαίνοντο [περικοπῆναι] Hg.[1] (ἐφαίνοντο em. M. Schmidt) F., quoniam durum erat, et tardum videbatur circumcidere eos v.; quoniam duri erant ad dolandum, tardumque videbatur ut circumciderentur p.; quia duriores erant quam qui excidi possent, et longa erat fabrica ae., ὅτι σκληροὶ ἦσαν εἰς τὸ λατ. αὐτούς, καὶ βραδέως ἐγένοντο L.[2] ed. pr. Ti. Gh. (ἐγένετο).

VII. 24. 25. [ταῦτα κελεύσας τῷ ποιμένι ἀπῄει ἀπὸ τοῦ πύργου] μετὰ πάντων [μεθ'] ὧν ἐληλύθει ae. (haec mandavit illi pastori et abiit a turre cum omnibus qui cum eo venerant) v. (haec cum praecepisset ei, cum omnibus, cum quibus venerat, ad turrim

4 τοῦ πύργου ἑστήκεισαν τηροῦσαι αὐτόν. [4]λέγω τῷ ποιμένι ,Πῶς οὗτοι οἱ λίθοι δύνανται εἰς τὴν οἰκοδομὴν τοῦ πύργου ἀπελθεῖν ἀποδεδοκιμασμένοι‘; ἀποκριθείς μοι λέγει ,Βλέπεις‘, φησί, ,τοὺς λίθους τούτους‘; ,Βλέπω‘, φημί, ,κύριε‘. ,Ἐγώ‘, φησί, ,τὸ πλεῖστον μέρος τῶν λίθων τούτων λατομήσω καὶ βαλῶ εἰς τὴν οἰκο-
5 δομήν, καὶ ἁρμόσουσι μετὰ τῶν λοιπῶν λίθων‘. [5],Πῶς‘, φημί‘ ,κύριε, δύνανται περικοπέντες τὸν αὐτὸν τόπον πληρῶσαι‘; ἀποκριθεὶς λέγει μοι ,Ὅσοι μικροὶ εὑρεθήσονται, εἰς μέσην τὴν οἰκοδομὴν βληθήσονται, ὅσοι δὲ μείζονες, ἐξώτεροι τεθήσονται καὶ
6 συγκρατήσουσιν αὐτούς‘. [6]ταῦτά μοι λαλήσας λέγει μοι ,Ἄγωμεν καὶ μετὰ ἡμέρας δύο ἔλθωμεν καὶ καθαρίσωμεν τοὺς λίθους τούτους καὶ βάλωμεν αὐτοὺς εἰς τὴν οἰκοδομήν· τὰ γὰρ κύκλῳ τοῦ πύργου πάντα καθαρισθῆναι δεῖ, μήποτε ὁ δεσπότης ἐξάπινα ἔλθῃ καὶ τὰ περὶ τὸν πύργον ῥυπαρὰ εὕρῃ καὶ προσοχθίσῃ, καὶ οὗτοι οἱ λίθοι οὐκ ἀπελεύσονται εἰς τὴν οἰκοδομὴν τοῦ πύργου, κἀγὼ ἀμελὴς δόξω εἶναι παρὰ τῷ δεσπότῃ‘.

7 [7]Καὶ μετὰ ἡμέρας δύο ἤλθομεν πρὸς τὸν πύργον καὶ λέγει μοι ,Κατανοήσωμεν τοὺς λίθους πάντας καὶ ἴδωμεν τοὺς δυναμένους εἰς τὴν οἰκοδομὴν ἀπελθεῖν‘. λέγω αὐτῷ ,Κύριε, κατανοή-
1 σωμεν‘. VIII. καὶ ἀρξάμενοι πρῶτον τοὺς μέλανας κατενοοῦμεν λίθους. καὶ οἷοι ἐκ τῆς οἰκοδομῆς ἐτέθησαν, τοιοῦτοι καὶ εὑρέθησαν. καὶ ἐκέλευσεν αὐτοὺς ὁ ποιμὴν ἐκ τοῦ πύργου μετε-
2 νεχθῆναι καὶ χωρισθῆναι. [2]εἶτα κατενόησε τοὺς ἐψωριακότας καὶ λαβὼν ἐλατόμησε πολλοὺς ἐξ αὐτῶν καὶ ἐκέλευσε τὰς παρθένους ἆραι αὐτοὺς καὶ βαλεῖν εἰς τὴν οἰκοδομήν. καὶ ἦραν αὐτοὺς αἱ παρθένοι καὶ ἔθηκαν εἰς τὴν οἰκοδομὴν τοῦ πύργου μέσην. τοὺς δὲ λοιποὺς ἐκέλευσε μετὰ τῶν μελάνων τεθῆναι· καὶ γὰρ καὶ οὗ-
3 τοι μέλανες εὑρέθησαν. [3]εἶτα κατενόει τοὺς τὰς σχισμὰς ἔχοντας. καὶ ἐκ τούτων πολλοὺς ἐλατόμησε καὶ ἐκέλευσε διὰ τῶν παρθένων εἰς τὴν οἰκοδομὴν ἀπενεχθῆναι· ἐξώτεροι δὲ ἐτέθησαν, ὅτι ὑγιέστεροι εὑρέθησαν· οἱ δὲ λοιποὶ διὰ τὸ πλῆθος τῶν σχισμάτων οὐκ

[a turre em. Gh.] abiit) p. (haec cum praecepisset pastor [l. pastori] ille dignitosus, exit [l. exiit] a turre cum quibus venerat) Hg.[1] (μέθ' ὧν iam ed. pr.) Gh. (sine μεθ') F., μετὰ πάντων ὧν ἐληλύθει L.[2] ed. pr. (μεθ' ante ὧν) Ti.

Sim. IX, VII. 1. ἑστήκεισαν Hg.[1] Gh. F., εἱστήκεισαν (super εἰ posito ἑ) L.[2] ed. pr. Ti. | Πῶς v. p. ae. Gh. F., πάλιν L. ed. pr. Ti. Hg.[1] 5. βαλῶ v. p. ae. (Ang.) Hg.[1] Gh. F., βάλλω L.[2] Ti. 8 sq. εἰς μέσην τὴν οἰκοδομὴν (cf. p. 113, 7) Hg.[1] Gh. F., εἰς μέσην τῆς οἰκοδομῆς L.[2], εἰς μέσον τῆς οἰκοδομῆς ed. pr. Ti. 11. ἡμέρας δύο L.[2] p. ae. et edd., triduum v. 14. περὶ v. p. ae. Hg.[1] Gh. F., παρὰ L.[2] ed. pr. Ti. | προσοχθίσῃ v. p. ae. et edd., προσυχθίσω (Ang. Gh.) vel προσωχθίσω (Ti.) L.[2] 16. εἶναι edd., ἔἶμαι L.[2] | τῷ δεσπότῃ ed. pr. Hg.[1] Gh. F., τοῦ δεσπότου L.[2] Ti. 17. ἤλθομεν L.[2], non ἔλθομεν (Ti.).

VIII. 20 sq. κατενοοῦμεν v. p. (Ang.) Hg.[1] Gh. F., κατανοοῦμεν L.[2] ed. pr. Ti. 23. κατενόησε correctum esse videtur e. κατενόησα in L.[2] 26. μέσην L.[2] (correctus) Ti. Hg.[1] Gh. F., μέσων L.[2] (prius), μέσον ed. pr.

ἠδυνήθησαν λατομηθῆναι. διὰ ταύτην οὖν τὴν αἰτίαν ἀπεβλήθησαν
ἀπὸ τῆς οἰκοδομῆς τοῦ πύργου. [4]εἶτα κατενόει τοὺς κολοβούς, 4
καὶ εὑρέθησαν πολλοὶ ἐν αὐτοῖς μέλανες, τινὲς δὲ σχισμὰς μεγά-
λας πεποιηκότες. καὶ ἐκέλευσε καὶ τούτους τεθῆναι μετὰ τῶν ἀπο-
5 βεβλημένων· τοὺς δὲ περισσεύοντας αὐτῶν καθαρίσας καὶ λατο-
μήσας ἐκέλευσεν εἰς τὴν οἰκοδομὴν τεθῆναι. αἱ δὲ παρθένοι αὐτοὺς
ἄρασαι εἰς μέσην τὴν οἰκοδομὴν τοῦ πύργου ἥρμοσαν· ἀσθενέ-
στεροι γὰρ ἦσαν. [5]εἶτα κατενόει τοὺς ἡμίσεις λευκούς, ἡμίσεις 5
δὲ μέλανας, καὶ πολλοὶ ἐξ αὐτῶν εὑρέθησαν μέλανες. ἐκέλευσε
10 δὲ καὶ τούτους ἀρθῆναι [καὶ τεθῆναι] μετὰ τῶν ἀποβεβλημένων.
οἱ δὲ λοιποὶ πάντες εὑρέθησαν λευκοί. καὶ οὗτοι ἤρθησαν ὑπὸ τῶν
παρθένων καὶ ἡρμόσθησαν εἰς τὴν οἰκοδομήν. ἐξώτεροι δὲ ἐτέ-
θησαν, ὅτι ὑγιεῖς εὑρέθησαν, ὥστε δύνασθαι αὐτοὺς κρατεῖν τοὺς
εἰς τὸ μέσον τεθέντας· ὅλως γὰρ ἐξ αὐτῶν οὐδὲν ἐκολοβώθη.
15 [6]εἶτα κατενόει τοὺς τραχεῖς καὶ σκληρούς, καὶ ὀλίγοι ἐξ αὐτῶν 6
ἀπεβλήθησαν διὰ τὸ μὴ δύνασθαι λατομηθῆναι· σκληροὶ γὰρ λίαν
εὑρέθησαν. οἱ δὲ λοιποὶ αὐτῶν ἐλατομήθησαν καὶ ἤρθησαν ὑπὸ
τῶν παρθένων καὶ εἰς μέσην τὴν οἰκοδομὴν τοῦ πύργου ἡρμόσθη-
σαν· ἀσθενέστεροι γὰρ ἦσαν. [7]εἶτα κατενόει τοὺς ἔχοντας τοὺς 7
20 σπίλους, καὶ ἐκ τούτων ἐλάχιστοι ἐμελάνησαν καὶ ἀπεβλήθησαν
πρὸς τοὺς λοιπούς. οἱ δὲ περισσεύοντες λαμπροὶ καὶ ὑγιεῖς εὑρέ-
θησαν. καὶ οὗτοι ἡρμόσθησαν ὑπὸ τῶν παρθένων εἰς τὴν οἰκο-
δομήν· ἐξώτεροι δὲ ἐτέθησαν διὰ τὴν ἰσχυρότητα αὐτῶν. IX. εἶτα 1
ἦλθε κατανοῆσαι τοὺς λευκοὺς καὶ στρογγύλους λίθους καὶ λέγει
25 μοι ‚Τί ποιοῦμεν περὶ τούτων τῶν λίθων'; ‚Τί', φημί, ‚ἐγὼ γι-
νώσκω, κύριε'; ‚Οὐδὲν οὖν ἐπινοεῖς περὶ αὐτῶν'; [2]‚Ἐγώ', φημί, 2
‚κύριε, ταύτην τὴν τέχνην οὐκ ἔχω, οὐδὲ λατόμος εἰμί, οὐδὲ δύ-
ναμαι νοῆσαί [τι]'. ‚Οὐ βλέπεις αὐτούς', φησί, ‚λίαν στρογγύλους
ὄντας; καὶ ἐὰν αὐτοὺς θελήσω τετραγώνους ποιῆσαι, πολὺ δεῖ ἀπ'
30 αὐτῶν ἀποκοπῆναι· δεῖ δὲ ἐξ αὐτῶν ἐξ ἀνάγκης τινὰς εἰς τὴν οἰ-

Sim. IX, VIII. 10. ἀρθῆναι [καὶ τεθῆναι] p. (tolli et poni) Gh. F., ἀρθῆναι L.[2] ed. pr. Ti. Hg.[1], τεθῆναι v. (transferri) ae. (transferre). 11. 12. οἱ δὲ λοιποὶ πάντες εὑρέθησαν λευκοί. καὶ οὗτοι ἤρθησαν ὑπὸ τῶν παρθένων καὶ ἡρμόσθησαν εἰς τὴν οἰκοδομήν v. (reliqui vero toti candidi inventi sunt. et hi sublati sunt a virginibus et aptati in eandem turrem) p. (caeteri candidi toti inventi sunt et a virginibus sublati in structura turris aptati sunt) ae. (reliqui autem inventi sunt omnes albi, et hos quoque portaverunt virgines et exteriores imposuerunt eos in structuram), οἱ δὲ λοιποὶ πάντες ἤρθησαν ὑπὸ τῶν παρθένων· λευκοὶ γὰρ ὄντες ἡρμόσθησαν ὑπ' αὐτῶν τῶν παρθένων (τῶν παρθ. delenda esse censuerunt Ang. Gh.) εἰς τὴν οἰκοδομήν L.[2] et edd. 15. ὀλίγοι L.[2] v. p. ae. ed. pr. Hg.[1] Gh. F., [οὐκ] ὀλίγοι ed. pr. Ti. 17. ὑπὸ Hg.[1] Gh. F., ἀπὸ L.[2] ed. pr. Ti. 20. ἐμελάνησαν Gh. F., ἐμελάνισαν (vel ἐμελανώθησαν) Hg.[1], ἐμελάνωσαν L.[2] Ti., ἐμελαίνοντο ed. pr. 21. ὑγιεῖς v. p. Gh. F., ἐκεῖνοι L.[2] ed. pr. Ti. Hg.[1], ὁλόκληροι coni. Ang., om. ae.

IX. 25. Τί (superscr. πῶς) L.[2] 28. τι v. p. ae. (illud) Gh. F., om. L.[2] ed. pr. Ti. Hg.[1]

3 κοδομὴν τεθῆναι‘. ³‚Εἰ οὖν‘, φημί, ‚κύριε, ἀνάγκη ἐστί, τί σεαυτὸν βασανίζεις καὶ οὐκ ἐκλέγῃ εἰς τὴν οἰκοδομήν, οὓς θέλεις, καὶ ἁρμόζεις εἰς αὐτήν‘; ἐξελέξατο ἐξ αὐτῶν τοὺς μείζονας καὶ λαμπροὺς καὶ ἐλατόμησεν αὐτούς· αἱ δὲ παρθένοι ἄρασαι ἥρμοσαν εἰς τὰ ἐξώ-
4 τερα μέρη τῆς οἰκοδομῆς. ⁴οἱ δὲ λοιποὶ οἱ περισσεύσαντες ἤρθησαν καὶ ἀπετέθησαν εἰς τὸ πεδίον, ὅθεν ἠνέχθησαν· οὐκ ἀπεβλήθησαν δέ ‚Ὅτι‘, φησί, ‚λείπει τῷ πύργῳ ἔτι μικρὸν οἰκοδομηθῆναι. πάντως δὲ θέλει ὁ δεσπότης τοῦ πύργου τούτους ἁρμοσθῆναι τοὺς λίθους εἰς
5 τὴν οἰκοδομήν, ὅτι λαμπροί εἰσι λίαν‘. ⁵ἐκλήθησαν δὲ γυναῖκες δώδεκα, εὐειδέσταται τῷ χαρακτῆρι, μέλανα ἐνδεδυμέναι, [περιεζωσμέναι καὶ ἔξω τοὺς ὤμους ἔχουσαι] καὶ τὰς τρίχας λελυμέναι. ἐδοκοῦσαν δέ μοι αἱ γυναῖκες αὗται ἄγριαι εἶναι. ἐκέλευσε δὲ αὐτὰς ὁ ποιμὴν ἆραι τοὺς λίθους τοὺς ἀποβεβλημένους ἐκ τῆς οἰκοδομῆς καὶ ἀπενεγκεῖν αὐτοὺς εἰς τὰ ὄρη, ὅθεν καὶ ἠνέχθησαν.
6 ⁶αἱ δὲ ἱλαραὶ ἦραν καὶ ἀπήνεγκαν πάντας τοὺς λίθους καὶ ἔθηκαν, ὅθεν ἐλήφθησαν. καὶ μετὰ τὸ ἀρθῆναι πάντας τοὺς λίθους καὶ μηκέτι κεῖσθαι λίθον κύκλῳ τοῦ πύργου λέγει μοι ὁ ποιμήν ‚Κυκλώσωμεν τὸν πύργον καὶ ἴδωμεν, μή τι ἐλάττωμά ἐστιν ἐν αὐτῷ‘.
7 καὶ ἐκύκλωσα ἐγὼ μετ᾽ αὐτοῦ. ⁷ἰδὼν δὲ ὁ ποιμὴν τὸν πύργον εὐπρεπῆ ὄντα τῇ οἰκοδομῇ λίαν ἱλαρὸς ἦν· ὁ γὰρ πύργος οὕτως ἦν ᾠκοδομημένος, ὥστε με ἰδόντα ἐπιθυμεῖν τὴν οἰκοδομὴν αὐτοῦ. οὕτω γὰρ ἦν ᾠκοδομημένος, ὡσὰν ἐξ ἑνὸς λίθου μὴ ἔχων μίαν ἁρμογὴν ἐν ἑαυτῷ. ἐφαίνετο δὲ ὁ λίθος ὡς ἐκ τῆς πέτρας ἐκκεκολαμμένος· μονόλιθος γάρ μοι ἐδόκει εἶναι.

1 X. Κἀγὼ περιπατῶν μετ᾽ αὐτοῦ ἱλαρὸς ἤμην τοιαῦτα ἀγαθὰ βλέπων. λέγει δέ μοι ὁ ποιμήν ‚Ὕπαγε καὶ φέρε ἄσβεστον καὶ ὄστρακον λεπτόν, ἵνα τοὺς τύπους τῶν λίθων τῶν ἠρμένων καὶ εἰς τὴν οἰκοδομὴν βεβλημένων ἀναπληρώσω· δεῖ γὰρ τοῦ πύργου
2 τὰ κύκλῳ πάντα ὁμαλὰ γενέσθαι‘. ²καὶ ἐποίησα, καθὼς ἐκέλευσε, καὶ ἤνεγκα πρὸς αὐτόν. ‚Ὑπηρέτει μοι‘, φησί, ‚καὶ ἐγγὺς τὸ ἔργον

Sim. IX, IX. 22—24. cf. Origenis locum ad Vis. III, 2 p. 15, 16. 17 laudatum.

Sim. IX, IX. 1. οὖν v. et edd., οὗ L.² (Gh.)· 2. ἐκλέγῃ (η correcto ex εις, ut videtur) L.² 7. πύργῳ v. p. ae. et edd., μικρῷ L.² | πάντως v. p. ae. (Ang.) Gh. F., πάντας L.² ed. pr. Ti. Hg.¹ 8. τούτους L.² v. ed. pr. Ti. Gh. F., τούτου (p. ae.?) Hg.¹ 10. 11. uncis inclusa v. (incinctae et exertis humeris) p. (et ab humeris cinctae) ae. (et succinctae erant, et extensae earum manus) Hg. (Herm. lat. p. XI, om. καὶ) Gh. F., om. L.² ed. pr. Ti. Hg.¹ 15. ἦραν L.² v. p. ae. ed. pr. Ti. Gh. F., ἦσαν casu Hg.¹ 17. μοι ὁ ποιμήν L.² ae. ed. pr. Ti. Gh. F., μοι v. p., casu om. Hg.¹ 19. ἐκύκλωσα ae. et edd., ἐκύκλωσον L.² 23 sq. ἐκκεκολαμμένος v. p. (Ang.) Hg.¹ Gh. F., ἐγκεκολαμμένος L.² ae. Ti.

X. 27. 28. τῶν ἠρμένων καὶ εἰς τὴν οἰκοδομὴν βεβλημένων (cf. c. VII, 4 p. 112, 3. c. VIII, 2 p. 125, 25 sq. c. XXIX, 4) v. p. ae. Hg.¹ Gh. F., τῶν ἡρμοσμένων εἰς τὴν οἰκοδομὴν καὶ βεβλημένων L.² ed. pr. Ti. 30. φησί v. p. ae. Ti. Hg.¹ Gh. F., om. L.² (sed Simonides add.) ed. pr.

τελεσθήσεται‘. ἐπλήρωσεν οὖν τοὺς τύπους τῶν λίθων τῶν εἰς τὴν οἰκοδομὴν ἀπεληλυθότων καὶ ἐκέλευσε σαρωθῆναι τὰ κύκλῳ τοῦ πύργου καὶ καθαρὰ γενέσθαι· 3 [3]αἱ δὲ παρθένοι λαβοῦσαι σάρους ἐσάρωσαν καὶ πάντα τὰ κό[πρια] ἦραν ἐκ τοῦ πύργου καὶ ἔρραναν ὕδωρ, καὶ ἐγένετο ὁ τόπος ἱλαρὸς καὶ εὐπρεπέστατος τῷ πύργῳ. 4 [4]λέγει μοι ὁ ποιμήν ‚Πάντα‘, φησί, ‚κεκάθα[ρται]· ἐὰν ἔλθῃ ὁ κύριος ἐπισκέψασθαι τὸν πύργον, οὐκ ἔχει ἡμῶν οὐδὲν μέμψασθαι‘. ταῦτα εἰπὼν ἤθελεν ὑπάγειν· 5 [5]ἐγὼ δὲ ἐπελαβόμην αὐτοῦ τῆς πήρας καὶ ἠρξάμην αὐτὸν ὁρκίζειν κατὰ τοῦ κυρίου, ἵνα μοι ἐπιλύσῃ ἃ ἔδειξέ μοι. λέγει μοι ‚Μικρὸν ἔχω ἀκαιρεθῆναι καὶ πάντα σοι ἐπιλύσω· ἔκδεξαι δέ με ὧδε ἕως ἔρχομαι‘. 6 [6]λέγω αὐτῷ ‚Κύριε, μόνος ὢν ὧδε τί ποιήσω‘; ‚Οὐκ εἶ‘, φησί, ‚μόνος· αἱ γὰρ παρθένοι αὗται μετὰ σοῦ εἰσί‘. ‚Παράδος οὖν‘, φημί, ‚αὐταῖς με‘. προσκαλεῖται αὐτὰς ὁ ποιμὴν καὶ λέγει αὐταῖς ‚Παρατίθεμαι ὑμῖν τοῦτον ἕως ἔρχομαι‘· καὶ ἀπῆλθεν. 7 [7]ἐγὼ δὲ ἤμην μόνος μετὰ τῶν παρθένων· ἦσαν δὲ ἱλαρώτεραι καὶ πρὸς ἐμὲ εὖ εἶχον, μάλιστα δὲ αἱ τέσσαρες οἱ ἐνδοξότεραι αὐτῶν. XI. 1 λέγουσί μοι αἱ παρθένοι ‚Σήμερον ὁ ποιμὴν ὧδε οὐκ ἔρχεται‘. ‚Τί οὖν‘, φημί, ‚ποιήσω ἐγώ‘; ‚Μέχρις ὀψέ‘, φασίν, ‚περίμεινον αὐτόν· καὶ ἐὰν ἔλθῃ, λαλήσει μετὰ σοῦ, ἐὰν δὲ μὴ ἔλθῃ, μενεῖς μεθ' ἡμῶν ὧδε ἕως ἔρχεται‘. 2 [2]λέγω αὐταῖς ‚Ἐκδέξομαι αὐτὸν ἕως ὀψέ· ἐὰν δὲ μὴ ἔλθῃ, ἀπελεύσομαι εἰς τὸν οἶκον καὶ πρωῒ ἐπανήξω‘. αἱ δὲ ἀποκριθεῖσαι λέγουσί μοι ‚Ἡμῖν παρεδόθης, οὐ δύνασαι ἀφ' ἡμῶν ἀναχωρῆσαι‘. 3 [3]‚Ποῦ οὖν‘, φημί, ‚μενῶ‘; ‚Μεθ ἡμῶν‘, φασί, ‚κοιμηθήσῃ ὡς ἀδελφός, καὶ οὐχ ὡς ἀνήρ. ἡμέτερος γὰρ ἀδελφὸς εἶ, καὶ τοῦ λοιποῦ μέλλομεν μετὰ σοῦ κατοικεῖν. λίαν γάρ σε ἀγαπῶμεν‘. ἐγὼ δὲ ᾐσχυνόμην μετ' αὐτῶν μένειν. 4 [4]καὶ ἡ δοκοῦσα πρώτη αὐτῶν εἶναι ἤρξατό με καταφιλεῖν, [καὶ αἱ ἄλλαι δὲ ἰδοῦσαι αὐτὴν καταφιλοῦσάν με καὶ αὐταὶ ἤρξαντό με καταφιλεῖν] καὶ περιάγειν κύκλῳ τοῦ πύργου καὶ παίζειν μετ' ἐμοῦ. 5 [5]κἀγὼ ὡσεὶ νεώτερος ἐγεγόνειν καὶ ἠρξάμην καὶ αὐτὸς παίζειν

Sim. IX, X. 1. τελεσθήσεται v. p. ae. et edd., τελευθήσεται (τε ex σα correcto, superscr. σα) L.[2] 3 sq. σάρους v. p. ae. ed. pr. Hg.[1] Gh. F., σάρον L.[2] Ti. 4. κό[πρια] v. p. et edd., κό[μματα] L.[2], κόνιν ae. 5. ἔρραναν v. p. ae. Gh. F., ἔφεραν L.[2] Ti., ἔφερον ed. pr. Hg.[1] | εὐπρεπέστατος edd., εὐτρεπέστατος L.[2] 5. 6. τῷ πύργῳ p., τοῦ πύργου L.[2] et edd., turris v., apud turrim ae. 6. κεκάθα[ρται] v. p. ae. et edd., κεκαθά[ραι] L.[2] 7. ἡμῶν ed. pr. Ti. Gh. F., ἡμῖν (M. Schmidt) Hg.[1] 10. ἀκαιρεθῆναι L.[2] (ἀναιρεθῆναι legit Ti.) v. p. Gh. F., ἀναπαυθῆναι ae. ed. pr. Ti. Hg.[1] 11. δέ v. p. (ae.: et) Hg.[1], om. L.[2] ed. pr. Ti. Gh. F. 13. φημί v. p. ae. et edd., φησίν L.[2] 17. τέσσαρες Hg.[1], δ' L.[2] ed. pr. Ti. Gh. F.

XI. 19. ὀψέ, φασίν v. p. ae. Gh. F., ὅτου, φασίν, ἔλθῃ L.[2] ed. pr. Ti. Hg.[1] | περίμεινον edd., περίμενον L.[2] 20. μή v. p. ae. et edd., μοι L.[2] | μενεῖς v. p. ae. et edd., μένεις L.[2] 22. οἶκον v. p. Hg.[1] Gh. F., οἶκόν μου (μου prima manu deleto) L.[2] ae. ed. pr. Ti. 24. μενῶ v. p. ae. et edd., μείνω superscr. in L.[2] 28—30. uncis inclusa v. p. ae. Hg.[1] (om. primum καί) Gh. F., om. L.[2] ed. pr. Ti. 31. καὶ αὐτός L.[2] p. ae. ed. pr. Ti. Gh. F., om. casu Hg.[1]

μετ' αὐτῶν· αἱ μὲν γὰρ ἐχόρευον, αἱ δὲ ὠρχοῦντο, αἱ δὲ ᾖδον· ἐγὼ δὲ σιγὴν ἔχων μετ' αὐτῶν κύκλῳ τοῦ πύργου περιεπάτουν
6 καὶ ἱλαρὸς ἤμην μετ' αὐτῶν. [6]ὀψίας δὲ γενομένης ἤθελον εἰς τὸν οἶκον ὑπάγειν· αἱ δὲ οὐκ ἀφῆκαν, ἀλλὰ κατέσχον με. καὶ ἔμεινα
7 μετ' αὐτῶν τὴν νύκτα καὶ ἐκοιμήθην παρὰ τὸν πύργον. [7]ἔστρωσαν δὲ αἱ παρθένοι τοὺς λινοῦς χιτῶνας ἑαυτῶν χαμαὶ καὶ ἐμὲ ἀνέκλιναν εἰς τὸ μέσον αὐτῶν, καὶ οὐδὲν ὅλως ἐποίουν εἰ μὴ προσηύχοντο. κἀγὼ μετ' αὐτῶν ἀδιαλείπτως προσηυχόμην, καὶ οὐκ ἔλασσον ἐκείνων. καὶ ἔχαιρον αἱ παρθένοι οὕτω μου προσευχομένου. καὶ ἔμεινα ἐκεῖ μέχρι τῆς αὔριον ἕως ὥρας δευτέρας
8 μετὰ τῶν παρθένων. [8]εἶτα παρῆν ὁ ποιμὴν καὶ λέγει ταῖς παρθένοις ,Μή τινα αὐτῷ ὕβριν πεποιήκατε'; ,Ἐρώτα', φασίν, ,αὐτόν'. λέγω αὐτῷ ,Κύριε, εὐφράνθην μετ' αὐτῶν μείνας'. ,Τί', φησίν, ,ἐδείπνησας'; ,Ἐδείπνησα', φημί, ,κύριε, ῥήματα κυρίου ὅλην τὴν
9 νύκτα'. ,Καλῶς', φησίν, ,ἔλαβόν σε'; ,Ναί', φημί, ,κύριε'. [9],Νῦν', φησί, ,τί θέλεις πρῶτον ἀκοῦσαι'; ,Καθὼς', φημί, ,κύριε, ἀπ' ἀρχῆς ἔδειξας. ἐρωτῶ σε, κύριε, ἵνα, καθὼς ἄν σε ἐπερωτήσω, οὕτω μοι καὶ δηλώσῃς'. ,Καθὼς βούλει', φησίν, ,οὕτω σοι καὶ ἐπιλύσω καὶ οὐδὲν ὅλως ἀποκρύψω ἀπὸ σοῦ'.

1 XII. ,Πρῶτον', φημί, ,πάντων, κύριε, τοῦτό μοι δήλωσον· ἡ πέτρα καὶ ἡ πύλη τί ἔστιν'; ,Ἡ πέτρα', φησίν, ,αὕτη καὶ ἡ πύλη ὁ υἱὸς τοῦ θεοῦ ἐστί'. ,Πῶς', φημί, κύριε, ἡ πέτρα παλαιά
2 ἐστιν, ἡ δὲ πύλη καινή'; ,Ἄκουε', φησί, καὶ σύνιε, ἀσύνετε. [2]ὁ μὲν υἱὸς τοῦ θεοῦ πάσης τῆς κτίσεως αὐτοῦ προγενέστρεός ἐστιν, ὥστε σύμβουλον αὐτὸν γενέσθαι τῷ πατρὶ τῆς κτίσεως αὐτοῦ· διὰ τοῦτο καὶ παλαιός ἐστιν'. ,Ἡ δὲ πύλη διά τί καινή', φημί, ,κύριε';
3 [3]„Ὅτι', φησίν, ,ἐπ' ἐσχάτων τῶν ἡμερῶν τῆς συντελείας φανερὸς ἐγένετο. διὰ τοῦτο καινὴ ἐγένετο ἡ πύλη, ἵνα οἱ μέλλοντες σώ-
4 ζεσθαι δι' αὐτῆς εἰς τὴν βασιλείαν εἰσέλθωσι τοῦ θεοῦ. [4]εἶδες, φησίν, ,τοὺς λίθους τοὺς διὰ τῆς πύλης εἰσεληλυθότας [βεβλημένους] εἰς τὴν οἰκοδομὴν τοῦ πύργου, τοὺς δὲ μὴ εἰσεληλυθότας πάλιν ἀποβεβλημένους εἰς τὸν ἴδιον τόπον'; ,Εἶδον', φημί, ,κύριε'. ,Οὕτω', φησίν, ,εἰς τὴν βασιλείαν τοῦ θεοῦ οὐδεὶς εἰσελεύσεται,
5 εἰ μὴ λάβοι τὸ ὄνομα τοῦ υἱοῦ αὐτοῦ. [5]ἐὰν γὰρ εἰς πόλιν θελή-

Sim. IX, XI. 5. καὶ ἐκοιμήθην (cf. p. 115, 25) L.[2] et edd., om. v. p. ae. 6. αἱ edd., οἱ L.[2] 10. ὥρας δευτέρας ed. pr. Hg.[1] Gh. F., ὥραν δευτέραν L.[2] Ti. 17. ἄν σε edd., ἄν σοι L.[2] 18. βούλει Hg.[1] Gh. F., βούλη L.[2] ed. pr. Ti.
XII. 21. τί v. (p. ae.), τίς L.[2] et edd. 24. 25. κτίσεως v. p. ae. et edd., κτήσεως L.[2] 25. ὥστε v. p. et edd., ἕως τε L.[2] 26. καινή v. p. ae. et edd., κενή L.[2] 29. εἶδες v. p. ae. et edd., εἶδεν L.[2] 30 sq. [βεβλημένους] v. (collocatos) ae. (immissos) Gh. F., redierunt iterum p., om. L.[2] ed. pr. Ti. Hg.[1] 30. εἰσεληλυθότας v. (translati) p. (redierunt) ae. (introducti sunt) Gh. F., ἐληλυθότας L.[2] ed. pr. Ti. Hg.[1] 34. λάβοι L.[2] et edd., „fort. λάβῃ legendum" Gh. | τοῦ υἱοῦ v. p. ae. Gh. F., τὸ ἅγιον L.[2] ed. pr. Ti. Hg.[1]

σης εἰσελθεῖν τινά, κἀκείνη ἡ πόλις περιτετειχισμένη κύκλῳ, καὶ μίαν ἔχει πύλην, μήτι δυνήσῃ ʻεἰς τὴν πόλιν ἐκείνην εἰσελθεῖν εἰ μὴ διὰ τῆς πύλης ἧς ἔχει‘; ‚Πῶς γάρ‘, φημί, ‚κύριε, δύναται γενέσθαι ἄλλως‘; ‚Εἰ οὖν εἰς τὴν πόλιν οὐ δυνήσῃ εἰσελθεῖν εἰ μὴ διὰ τῆς πύλης αὐτῆς, οὕτω‘, φησί, ‚καὶ εἰς τὴν βασιλείαν τοῦ θεοῦ ἄλλως εἰσελθεῖν οὐ δύναται ἄνθρωπος, εἰ μὴ διὰ τοῦ ὀνόματος τοῦ υἱοῦ αὐτοῦ τοῦ ἠγαπημένου ὑπ' αὐτοῦ‘. [6]Εἶδες‘, φησί, 6 ‚τὸν ὄχλον τὸν οἰκοδομοῦντα τὸν πύργον‘; ‚Εἶδον‘, φημί, ‚κύριε‘. ‚Ἐκεῖνοι‘, φησί, ‚πάντες ἄγγελοι ἔνδοξοί εἰσι. τούτοις οὖν περιτετείχισται ὁ κύριος. ἡ δὲ πύλη ὁ υἱὸς τοῦ θεοῦ ἐστίν. αὕτη μία εἴσοδός ἐστι πρὸς τὸν κύριον. ἄλλως οὖν οὐδεὶς εἰσελεύσεται πρὸς αὐτὸν εἰ μὴ διὰ τοῦ υἱοῦ αὐτοῦ. [7]εἶδες‘, φησί, ‚τοὺς 7 ἓξ ἄνδρας καὶ τὸν μέσον αὐτῶν ἔνδοξον καὶ μέγαν ἄνδρα τὸν περιπατοῦντα περὶ τὸν πύργον καὶ τοὺς λίθους ἀποδοκιμάσαντα ἐκ τῆς οἰκοδομῆς‘; ‚Εἶδον‘, φημί, ‚κύριε‘. [8]‚Ὁ ἔνδοξος‘, φησίν 8 ‚ἀνὴρ ὁ υἱὸς τοῦ θεοῦ ἐστί, κἀκεῖνοι οἱ ἓξ οἱ ἔνδοξοι ἄγγελοί εἰσι δεξιὰ καὶ εὐώνυμα συγκρατοῦντες αὐτόν. τούτων‘, φησί ‚τῶν ἀγγέλων τῶν ἐνδόξων οὐδεὶς εἰσελεύσεται πρὸς τὸν θεὸν ἄτερ αὐτοῦ· ὃς ἂν τὸ ὄνομα αὐτοῦ μὴ λάβῃ, οὐκ εἰσελεύσεται εἰς τὴν βασιλείαν τοῦ θεοῦ‘. XIII. ‚Ὁ δὲ πύργος‘, φημί, ‚τίς 1 ἐστιν‘; ‚Ὁ πύργος‘, φησίν, ‚οὗτος ἡ ἐκκλησία ἐστίν. [2]‚Αἱ δὲ παρ- 2 θένοι αὗται τίνες εἰσί‘; ‚Ἅγια πνεύματά εἰσι, καὶ ἄλλως ἄνθρωπος οὐ δύναται εὑρεθῆναι εἰς τὴν βασιλείαν τοῦ θεοῦ, ἐὰν μὴ αὗται αὐτὸν ἐνδύσωσι τὸ ἔνδυμα αὐτῶν· ἐὰν γὰρ τὸ ὄνομα μόνον λάβῃς, τὸ δὲ ἔνδυμα παρὰ τούτων μὴ λάβῃς, οὐδὲν ὠφελεῖ σε. αὗται γὰρ αἱ παρθένοι δυνάμεις εἰσὶ τοῦ υἱοῦ τοῦ θεοῦ. ἐὰν [οὖν] τὸ ὄνομα φορῇς, τὴν δὲ δύναμιν μὴ φορῇς αὐτοῦ, εἰς μάτην ἔσῃ τὸ ὄνομα αὐτοῦ φορῶν. [3]τοὺς δὲ λίθους‘, φησίν, ‚οὓς εἶδες ἀποβε- 3 βλημένους, οὗτοι τὸ μὲν ὄνομα ἐφόρεσαν, τὸν δὲ ἱματισμὸν τῶν παρθένων οὐκ ἐνεδύσαντο‘. ‚Ποῖος‘, φημί, ‚ἱματισμὸς αὐτῶν ἐστί, κύριε‘; ‚Αὐτὰ τὰ ὀνόματα‘, φησίν, ‚ἱματισμός ἐστιν αὐτῶν. ὃς ἂν τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ φορῇ, καὶ τούτων ὀφείλει τὰ

Sim. IX, XII. 1. κύκλῳ L.[2] Ti. Hg.[1] Gh. F., ἢ κύκλῳ L.[3] ed. pr. 2. ἔχει L.[2] Ti. Gh. F., ἔχῃ ed. pr. | δυνήσῃ v. ae. et edd., δυνή (super η notato σῃ) L.[2] 4. εἰ L.[2] et edd., sicut v., utique quomodo p. 14. περὶ v. p. ae. Hg.[1] Gh. F., παρὰ L.[2] ed. pr. Ti. | ἀποδοκιμάσαντα v. p. ae. et edd., ἀποδοκιμάσαντας L.[2] 19. τὸ ὄνομα αὐτοῦ v. p. ae. (Ang.) Hg.[1] Gh. F., τὸ ὄνομα τοῦ θεοῦ L.[2] ed. pr. Ti.

XIII. 21. ἡ ἐκκλησία edd., ἐκκλησία L.[2] 22. 23. ἄλλως ἄνθρωπος οὐ δύναται v. p. ae. (Ang.) Gh. F., ἄλλοι ἄνθρωποι οὐ δύνανται L.[2] ed. pr. Ti. Hg.[1] (ἄλλως). 23. εὑρεθῆναι L.[2] p. et edd., εἰσελθεῖν v. ae. 24. αὐτὸν L.[2] v. p. ae. ed. pr. Ti. Gh. F., om. casu Hg.[1] 25. ὠφελεῖ σε coni. Ang., tibi proderit v. ae., proderit p., ἐφελεῖς L.[2], ὠφελεῖς ed. pr. Ti. Hg.[1], ὠφελήσῃ Gh. F. 26. οὖν v. p. (et ae.) Gh. F., om. L.[2] ed. pr. Ti. Hg.[1] 27. ἔσῃ (super η notato ο) L.[2] 29. οὗτοι v. p. ae. Hg.[1] Gh. F., αὐτοὶ L.[2] ed. pr. Ti. 30. Ποῖος, φημί, ἱματισμὸς v. p. ae. ed. pr. Hg.[1] Gh. F., ποῖον, φημί, ἱματισμὸν L.[2] Ti. 32. ὀφείλει edd., ὀφήλει L.[2]

ὀνόματα φορεῖν· καὶ γὰρ αὐτὸς ὁ υἱὸς τὰ ὀνόματα τῶν παρθέ-
4 νων τούτων φορεῖ. 4 ὅσους', φησί, ,λίθους εἶδες εἰς τὴν οἰκοδο-
μὴν [τοῦ πύργου εἰσεληλυθότας ἐπιδεδομένους διὰ τῶν χειρῶν
αὐτῶν καὶ μείναντας εἰς τὴν οἰκοδομήν], τούτων τῶν παρθένων
5 τὴν δύναμιν ἐνδεδυμέναι εἰσί. 5 διὰ τοῦτο βλέπεις τὸν πύργον
μονόλιθον γεγονότα [μετὰ] τῆς πέτρας. οὕτω καὶ οἱ πιστεύσαντες
τῷ κυρίῳ διὰ τοῦ υἱοῦ αὐτοῦ καὶ ἐνδιδυσκόμενοι τὰ πνεύματα
ταῦτα ἔσονται εἰς ἓν πνεῦμα, εἰς ἓν σῶμα, καὶ μία χρόα τῶν
ἱματίων αὐτῶν. τῶν τοιούτων δὲ τῶν φορούντων τὰ ὀνόματα
6 τῶν παρθένων ἐστὶν ἡ κατοικία εἰς τὸν πύργον'. 6 ,Οἱ οὖν', φημί,
,κύριε, ἀποβεβλημένοι λίθοι διὰ τί ἀπεβλήθησαν; διῆλθον γὰρ διὰ
τῆς πύλης καὶ διὰ τῶν χειρῶν τῶν παρθένων ἐτέθησαν εἰς τὴν
οἰκοδομὴν τοῦ πύργου'. ,Ἐπειδὴ πάντα σοι', φησί, ,μέλει καὶ
7 ἀκριβῶς ἐξετάζεις, ἄκουε περὶ τῶν ἀποβεβλημένων λίθων. 7 οὗτοι',
φησί, ,πάντες τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ ἔλαβον, ἔλαβον δὲ
καὶ τὴν δύναμιν τῶν παρθένων τούτων. λαβόντες οὖν τὰ πνεύ-
ματα ταῦτα ἐνεδυναμώθησαν καὶ ἦσαν μετὰ τῶν δούλων τοῦ θεοῦ,
καὶ ἦν αὐτῶν ἓν πνεῦμα καὶ ἓν σῶμα καὶ ἓν ἔνδυμα· τὰ γὰρ
8 αὐτὰ ἐφρόνουν καὶ δικαιοσύνην εἰργάζοντο. 8 μετὰ οὖν χρόνον
τινὰ ἀνεπείσθησαν ὑπὸ τῶν γυναικῶν ὧν εἶδες μέλανα ἱμάτια
ἐνδεδυμένων, τοὺς ὤμους ἔξω ἐχουσῶν καὶ τὰς τρίχας λελυμένας
καὶ εὐμόρφων. ταύτας ἰδόντες ἐπεθύμησαν αὐτῶν καὶ ἐνεδύσαντο
τὴν δύναμιν αὐτῶν, τῶν δὲ παρθένων ἀπεδύσαντο [τὸ ἔνδυμα καὶ]
9 τὴν δύναμιν. 9 οὗτοι οὖν ἀπεβλήθησαν ἀπὸ τοῦ οἴκου τοῦ θεοῦ
καὶ ἐκείναις παρεδόθησαν. οἱ δὲ μὴ ἀπατηθέντες τῷ κάλλει τῶν
γυναικῶν τούτων ἔμειναν ἐν τῷ οἴκῳ τοῦ θεοῦ. ἔχεις', φησί, ,τὴν
1 ἐπίλυσιν τῶν ἀποβεβλημένων. XIV. ,Τί οὖν', φημί, ,κύριε,

Sim. IX, XIII. 5. 6. cf. Origenis locum ad Vis. III, 2. p. 15, 16. 17· Sim. IX, 9. p. 114, 22—24 laudatum.

Sim. IX, XIII. 2. φορεῖ v. p. ae. et edd., φορεῖν L.[2] 2—5. ὅσους εἶδες — ἐνδεδυμένοι εἰσί v. (quoscunque, inquit, lapides vidisti in structura remansisse traditos par manus earum, harum potestate vestiti sunt) p. (quoscunque igitur vidisti lapides in turris structura processisse traditos per manus harum virginum et mansisse in eadem structura, harum sunt potestate vestiti) ae. (vidistine? eos lapides, quos illae introduxerunt, imposuerunt in structura huius turris, et remanserunt in structura et induebantur harum postetate) Gh. F., ὅσους, φησί, λίθους εἶδες εἰς τὴν οἰκοδομήν, τούτων τῶν παρθένων τὴν δύναμιν ἐνδεδυμένοι εἰσί L.[2] ed. pr. Ti., ὅσους, φ., λίθους εἶδες ε. τ. οἰκ. [τοῦ πύργου ἐληλυθότας διὰ τῶν χειρῶν] τούτων τ. παρθ. [καὶ μεμενηκότας], τὴν δύν. [αὐτῶν] ἐνδεδυμέναι εἰσί Hg.[1] 6. μετὰ v. p. (ae.) Hg.[1] Gh. F., om. L.[2] ed. pr. Ti. 7. καὶ ἐνδιδυσκόμενοι L.[2] (correctus) Ti. Hg.[1] Gh. F., καὶ ἐνδεδυσκόμενοι (notato ι super ε) L.[2], ἐνδεδυμένοι ed. pr. 9. ἱματίων L.[2] (correctus) ed. pr. Ti. Hg.[1], ἱματισμῶν L.[2] (pr. man.) Gh. F. 15. τοῦ υἱοῦ L.[2] v. p. ae. ed. pr. Ti. Gh. F., om. casu Hg.[1] (cf. Th. Zahn, Hirt d. Herm. p. 155, 5). 20. ἀνεπείσθησαν edd., ἀνεπίσθησαν L.[2] 23. 24. [τὸ ἔνδυμα καὶ] τὴν δύναμιν ae., τὸ ἔνδυμα v. Gh. F., τὴν δύναμιν L.[2] p. ed. pr. Ti. Hg.[1] 24. τοῦ οἴκου ed. pr. Hg.[1] Gh. F., τὸν οἶκον L.[2] Ti.

ἐὰν οὗτοι οἱ ἄνθρωποι, τοιοῦτοι ὄντες, μετανοήσωσι καὶ ἀποβάλωσι τὴν ἐπιθυμίαν τῶν γυναικῶν τούτων καὶ ἐπανακάμψωσιν ἐπὶ τὰς παρθένους καὶ ἐν τῇ δυνάμει αὐτῶν καὶ ἐν τοῖς ἔργοις αὐτῶν πορευθῶσιν, οὐκ εἰσελεύσονται εἰς τὸν οἶκον τοῦ θεοῦ'; [2],Εἰσελεύσονται', φησίν, ,ἐὰν τούτων τῶν γυναικῶν ἀποβάλωσι τὰ ἔργα, τῶν δὲ παρθένων ἀναλάβωσι τὴν δύναμιν καὶ ἐν τοῖς ἔργοις αὐτῶν πορευθῶσι. διὰ τοῦτο γὰρ καὶ τῆς οἰκοδομῆς ἀνοχὴ ἐγένετο, ἵνα ἐὰν μετανοήσωσιν οὗτοι, ἀπέλθωσιν εἰς τὴν οἰκοδομὴν τοῦ πύργου. ἐὰν δὲ μὴ μετανοήσωσι, τότε ἄλλοι ἀπελεύσονται, καὶ οὗτοι εἰς τέλος ἐκβληθήσονται'. [3]ἐπὶ τούτοις πᾶσιν ηὐχαρίστησα τῷ κυρίῳ, ὅτι ἐσπλαγχνίσθη ἐπὶ πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ καὶ ἐξαπέστειλε τὸν ἄγγελον τῆς μετανοίας εἰς ἡμᾶς τοὺς ἁμαρτήσαντας εἰς αὐτὸν καὶ ἀνεκαίνισεν ἡμῶν τὸ πνεῦμα, καὶ ἤδη κατεφθαρμένων ἡμῶν καὶ μὴ ἐχόντων ἐλπίδα τοῦ ζῆν ἀνενέωσε τὴν ζωὴν ἡμῶν. [4],Νῦν', φημί, ,κύριε, δήλωσόν μοι, διὰ τί ὁ πύργος χαμαὶ οὐκ ᾠκοδόμηται, ἀλλ' ἐπὶ τὴν πέτραν καὶ ἐπὶ τὴν πύλην'. ,Ἔτι', φησίν, ,ἄφρων εἶ καὶ ἀσύνετος'; ,Ἀνάγκην ἔχω', φημί, ,κύριε, πάντα ἐπερωτᾶν σε, διότι οὐδ' ὅλως οὐδὲν δύναμαι νοῆσαι. τὰ γὰρ πάντα μεγάλα καὶ ἔνδοξά ἐστι καὶ δυσνόητα τοῖς ἀνθρώποις'. [5],Ἄκουε', φησί· ,τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ μέγα ἐστὶ καὶ ἀχώρητον καὶ τὸν κόσμον ὅλον βαστάζει. εἰ οὖν πᾶσα ἡ κτίσις διὰ τοῦ υἱοῦ τοῦ θεοῦ βαστάζεται, τί δοκεῖς τοὺς κεκλημένους ὑπ' αὐτοῦ καὶ τὸ ὄνομα φοροῦντας τοῦ υἱοῦ τοῦ θεοῦ καὶ πορευομένους ταῖς ἐντολαῖς αὐτοῦ; [6]βλέπεις οὖν ποίους βαστάζει· τοὺς ἐξ ὅλης καρδίας φοροῦντας τὸ ὄνομα αὐτοῦ. αὐτὸς οὖν θεμέλιον αὐτοῖς ἐγένετο καὶ ἡδέως αὐτοὺς βαστάζει, ὅτι οὐκ ἐπαισχύνονται τὸ ὄνομα αὐτοῦ φορεῖν'.

XV. ,Δή[λωσόν μοι'], φημί, ,κύριε, τῶν παρθέ[νων τούτων

Sim. IX, XIV. 2. τὴν ἐπιθυμίαν v. p. ae. (favente Gh.) F., τὰς ἐπιθυμίας L.[2] ed. pr. Ti. Hg.[1] Gh. 8. ἀπέλθωσιν L.[2] ed. pr. Ti. Hg.[1], adiciantur v. p., introeant ae., εἰσέλθωσιν Gh. F. 9. ἀπελεύσονται (cf. l. 8) L.[2] ed. pr. Ti., struantur v., ibunt p., intrabunt ae., ἐπελεύσονται Hg.[1], εἰσελεύσονται Gh. F. 11. ἐσπλαγχνίσθη (cf. Sim. VIII, 6 p. 100, 18) Gh. F., εὐσπλαγχνίσθη L.[2] ed. pr. Ti. Hg.[1] 11 sq. τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ L.[2] ed. pr. Ti. Hg.[1], in quibus invocatum est nomen eius v. p. (in quos), super quos nomen eius invocatum est ae., τοῖς ἐπικαλουμένοις τῷ ὀνόματι αὐτοῦ Gh. F., revocantes ad l. 27, Sim. VIII, 6, 4 p. 100, 23 (quae diversa sunt) et ad interpretes (qui male verterunt), ceterum cf. Sim. VIII, 1 p. 94, 8. 9. οἱ κεκλημένοι τῷ ὀνόματι κυρίου. Lipsius (Ien. L.-Z. 1878, 2) proposuit: ἐφ' οὓς ἐπικαλεῖται τὸ ὄνομα αὐτοῦ. 13. ἀνεκαίνισεν edd., ἀνεκαίνησεν L.[2] 15. ἀνενέωσε edd., ἀνανέωσε L.[2] (ut videtur). 17. ἔτι L.[2] ae. Hg.[1] Gh. F., ὅτι v. p. ed. pr. Ti. | ἀσύνετος L.[2] p. ae. et edd., ideo interrogas add. v. 18. οὐδ' ὅλως v. p. ae. Hg.[1] Gh. F., οὐδόλως ed. pr. Ti., οὐ δούλως L.[2] 22. ἡ κτίσις L.[2] et edd., dei add. v. p. (ae.). 24. ταῖς L.[2] ed. pr. Hg.[1] Gh. F., [ἐν] ταῖς Ti. 26. αὐτοῖς (v. p.) ae. et edd., αὐτὸς L.[2]

XV. 28. Δή[λωσόν μοι], φημί. voc. φημί incipit ipsius codicis L. folium tertium, ubi plura a tineis exesa evanuerunt. 28—p. 120, 2. τῶν παρθέ[νων — τ]ὰ ὀνόματα v. (virginum harum et mulierum illarum, quae nigra veste

τὰ ὀνόματα καὶ τῶν γυναικῶν ἐκείνων τῶν τὰ μέλανα ἱμάτια ἐνδεδυμένων'. ,Ἄκουε', φησίν, ,τῶν παρθένων τ]ὰ ὀνόματα τῶν
2 ἰσχυροτέρων τῶν εἰς τὰς γωνίας σταθεισῶν. [2]ἡ μὲν πρώτη Πίστις, ἡ δὲ δευτέρα Ἐγκράτεια, ἡ δὲ [τρ]ίτη Δύναμις, ἡ δὲ τε[τάρ]τη Μακροθυμία. αἱ δὲ ἕτεραι ἀνὰ μέσον τούτων σταθεῖσαι ταῦτα ἔχουσι τὰ ὀνόματα· Ἁπλότης, Ἀκακία, Ἁγνεία, Ἱλαρότης, Ἀλήθεια, Σύνεσις, [Ὁ]μόνοια, Ἀγάπη. ταῦτα τὰ ὀνόματα ὁ φορῶν καὶ τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ δυνήσεται εἰς τὴν βασιλείαν τοῦ θεοῦ
3 εἰσελθεῖν'. [3],Ἄκουε', φησί, καὶ τὰ ὀνόματα τῶν γυναικῶν τῶν τὰ ἱμάτια μέλανα ἐχουσῶν. καὶ ἐκ τούτων τέσσαρές εἰσι δυνατώτεραι· ἡ πρώτη Ἀπιστία, ἡ δευτέρα Ἀκρασία, ἡ δὲ τρίτη Ἀπείθεια, ἡ δὲ τετάρτη Ἀπάτη. αἱ δὲ ἀκόλουθοι αὐτῶν καλοῦνται Λύπη, Πονηρία, Ἀσέλγεια, Ὀξυχολία, Ψεῦδος, Ἀφροσύνη, Καταλαλία, Μῖσος. ταῦτα τὰ ὀνόματα ὁ φορῶν τοῦ θεοῦ δοῦλος τὴν βασιλείαν μὲν ὄψεται τοῦ θεοῦ, εἰς αὐτὴν δὲ οὐκ εἰσελεύσεται'.
4 [4],Οἱ λίθοι δέ', φημί, ,κύριε, οἱ ἐκ τοῦ βυθοῦ ἡρμοσμένοι εἰς τὴν οἰκοδομὴν τίνες εἰσίν'; ,Οἱ μὲν πρῶτοι', φησίν, ,οἱ δέκα οἱ εἰς τὰ θεμέλια τεθειμένοι πρώτη γενεά, οἱ δὲ εἰκοσιπέντε δευτέρα γενεὰ ἀνδρῶν δικαίων· οἱ δὲ τριακονταπέντε προφῆται τοῦ θεοῦ καὶ

Sim. IX, XV. p. 119, 28—120, 7. Origenes Hom. XIII, 3 in Ezech. (Opp. III, 404): in libro Pastoris, in quo angelus poenitentiam docet, duodecim virgines habent nomina sua: fides, continentia etc. potestis quippe legere si vultis. deinde quando turris aedificatur, cum assumpseris fortitudines virginum, pariter accipies et id quod de portis dicitur. Opus imperfectum in Matth. XIX, 28 (Chrysostomi opp. ed. Montf. VI. append. f. CXLII): similiter et propter gratias duodecim, quas in persona duodecim virginum exponit angelus in Pastore, si tamen placet illa scriptura omnibus Christianis, inveniuntur duodecim esse tribus etc. Vita S. Genovefae c. IV. apud Bolland. 3. Ianuar: Duodecim enim virgines spirituales, quas Hermas, qui et Pastor nuncupatus est, in libro suo descripsit, ei individuae comites exstitere, quae ita nominantur: Fides, Abstinentia, Patientia (l. Potentia), Magnanimitas, Simplicitas, Innocentia, Concordia, Caritas, Disciplina, Castitas, Veritas et Prudentia.

Sim. IX, XV. 17—19. Clemens Alex. Strom. II, 9, 43 p. 452: ὁ Ποιμὴν δὲ ἁπλῶς ἐπὶ τῶν κεκοιμημένων θεὶς τὴν λέξιν δικαίους οἶδέ τινας ἐν τοῖς ἔθνεσι καὶ ἐν Ἰουδαίοις οὐ μόνον πρὸ τῆς τοῦ κυρίου παρουσίας, ἀλλὰ καὶ πρὸ νόμου κατὰ τὴν πρὸς θεὸν εὐαρέστησιν, ὡς Ἄβελ, ὡς Νῶε, ὡς εἴ τις ἕτερος δίκαιος.

sunt vestitae. Audi, inquit, nomina virginum) p. (virginum harum vel illarum mulierum, quae nigra veste vestitae sunt. et dixit mihi: Audi nomina harum virginum) ae. (nomina harum virginum et harum mulierum, quae nigro vestitae erant. et dixit mihi: Audi nomina harum virginum) Hg.[1] Gh. (om. τούτων et ἐκείνων) F. (ut Gh.), τῶν παρθέ[νων τ]ὰ ὀνόματα L.[2] (ceteris om. propter homoeotel.).

Sim. IX, XV. 10. ἱμάτια v. p. ae. Hg.[1] Gh. F., ὀνόματα L.[2] ed. pr. Ti. | τέσσαρες Hg.[1], δ' L.[2] ed. pr. Ti. Gh. F. 14. τὰ ὀνόματα L.[2] et edd., τὰ πνεύματα v. p. 17. δέκα Hg.[1], ἰ L.[2] ed. pr. Ti. Gh. F. 18. εἰκοσιπέντε v. p. Hg.[1], κε' L.[2] ed. pr. Ti. Gh. F., XV ae. 19. τριακονταπέντε Hg.[1], λε' L. ed. pr. Ti. Gh. F.

διάκονοι αὐτοῦ· οἱ δὲ τεσσαράκοντα ἀπόστολοι καὶ διδάσκαλοι τοῦ κηρύγματος τοῦ υἱοῦ τοῦ θεοῦ'. [5] ,Διὰ τί οὖν', φημί, ,κύριε, αἱ παρθένοι καὶ τούτους τοὺς λίθους ἐπέδωκαν εἰς τὴν οἰκοδομὴν τοῦ πύργου διενέγκασαι διὰ τῆς πύλης'; [6] ,Οὗτοι γάρ', φησί, πρῶτοι ταῦτα τὰ πνεύματα ἐφόρεσαν καὶ ὅλως ἀπ' ἀλλήλων οὐκ ἀπέστησαν, οὔτε τὰ πνεύματα ἀπὸ τῶν ἀνθρώπων, οὔτε οἱ ἄνθρωποι ἀπὸ τῶν πνευμάτων, ἀλλὰ παρέμειναν τὰ πνεύματα αὐτοῖς μέχρι τῆς κοιμήσεως αὐτῶν. καὶ εἰ μὴ ταῦτα τὰ πνεύματα μετ' αὐτῶν ἐσχήκει[σ]α[ν], ο[ὐκ ἂ]ν εὔχρηστοι γεγόνεισαν τῇ οἰκοδομῇ τοῦ πύργου τούτου.'

XVI. ,Ἔτι μοι', φημί, ,κύριε, δήλωσον'. ,Τί', φησίν, ,ἐπιζητεῖς'; ,Διὰ τί', φημί, ,κύριε, οἱ λίθοι ἐ[κ] τοῦ β[υ]θοῦ ἀνέβησαν καὶ εἰς τὴν οἰκοδομὴν τοῦ πύργου ἐτέθησαν, πεφορηκότες τὰ πνεύματα ταῦτα'; [2] ,Ἀνάγκην', φησίν, ,εἶχον δι' ὕδατος ἀναβῆναι, ἵνα ζωοποιηθῶσιν· οὐκ ἐδύναντο γὰρ ἄλλως εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ, εἰ μὴ τὴν νέκρωσιν ἀπέθεντο τῆς [προτέρας] ζωῆς αὐτῶν. [3] ἔλαβον οὖν καὶ οὗτοι οἱ κεκοιμημένοι τὴν σφραγῖδα τοῦ υἱοῦ τοῦ θεοῦ [καὶ εἰσῆλθον εἰς τὴν βασιλείαν τοῦ θεοῦ]. πρὶν γάρ', φησί, ,φορέσαι τὸν ἄνθρωπον τὸ ὄνομα [τοῦ υἱοῦ] τοῦ θεοῦ, νεκρός ἐστιν· ὅταν δὲ λάβῃ τὴν σφραγῖδα, ἀποτίθεται τὴν νέκρωσιν καὶ ἀναλαμβάνει τὴν ζωήν. [4] ἡ σφραγὶς οὖν τὸ ὕδωρ ἐστίν· εἰς τὸ ὕδωρ οὖν καταβαίνουσι νεκροὶ καὶ ἀναβαίνουσι ζῶντες. κἀκείνοις οὖν ἐκηρύχθη ἡ σφραγὶς αὕτη καὶ ἐχρήσαντο αὐτῇ, ἵνα εἰσέλθωσιν εἰς τὴν βασιλείαν τοῦ θεοῦ'. [5] ,Διὰ τί', φημί, ,κύριε, καὶ οἱ τεσσαράκοντα λίθοι μετ' αὐτῶν ἀνέβησαν ἐκ τοῦ βυθοῦ, ἤδη ἐσχηκότες τὴν σφραγῖδα': ,Ὅτι', φησίν, ,οὗτοι οἱ ἀπόστολοι καὶ οἱ διδάσκαλοι οἱ κηρύξαντες τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ, κοιμηθέντες ἐν δυνάμει καὶ πίστει τοῦ υἱοῦ τοῦ θεοῦ ἐκήρυξαν καὶ τοῖς προκεκοιμημένοις, καὶ αὐτοὶ ἔδωκαν αὐτοῖς τὴν σφραγῖδα τοῦ

Sim. IX, XVI. 26—p. 122, 8. Clemens Alex. l. l. §. 44. pergit: φησὶ γοῦν τοὺς ἀποστόλους καὶ διδασκάλους τοὺς κηρύξαντας τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ καὶ κοιμηθέντας τῇ δυνάμει καὶ τῇ πίστει κηρῦξαι τοῖς προκεκοιμημένοις. εἶτα ἐπιφέρει Καὶ αὐτοὶ ἔδωκαν αὐτοῖς τὴν σφραγῖδα τοῦ κηρύγματος. κατέβησαν οὖν μετ' αὐτῶν εἰς τὸ ὕδωρ καὶ πάλιν ἀνέβησαν. ἀλλ' οὗτοι ζῶντες κατέβησαν καὶ πάλιν ζῶντες ἀνέβησαν, ἐκεῖνοι δὲ οἱ προκεκοιμημένοι νεκροὶ κατέβησαν,

Sim. IX, XV. 1. τεσσαράκοντα Hg.[1], μ' L.[2] ed. pr. Ti. Gh. F. 9. ἐσχήκει[σ]α[ν], ο[ὐκ ἂν] L. v. p. ae. Gh. F., ἐσχήκεισ[αν], ο[ὗτοι] οὐ[κ ἂν] ed. pr. Ti. Hg.[1] | γεγόνεισαν ed. pr. Hg.[1] Gh. F., γεγόνασι L. Ti.
XVI. 13. τοῦ πύργου v. p. ae. Hg.[1] Gh. F., om. L. ed. pr. Ti. 15. ἐδύναντο (cf. p. 4, 2), ἠδύν. L.[2] et edd. 16 sq. τῆς [προτέρας] ζωῆς αὐτῶν v. (prioris vitae) p. (primae vitae suae) ae. (pristinae vitae suae), τῆς ζωῆς αὐτῶν [τῆς προτέρας] Gh. F., τῆς ζωῆς αὐτῶν L. ed. pr. Ti. Hg.[1] 18. uncis inclusa v. p. ae. Gh. F., om. L.[2] ed. pr. Ti. Hg.[1] 19. τοῦ υἱοῦ v. p. ae. ed. pr. Hg.[1] Gh. F., om. L. Ti. 25. τεσσαράκοντα Hg.[1], μ' L. ed. pr. Ti. Gh. F. 29. προκεκοιμημένοις Clem. Al. v. ae. Gh. F., κεκοιμημένοις L. ed. pr. Ti. Hg.[1]

6 κηρύγματος. [6]κατέβησαν οὖν μετ' αὐτῶν εἰς τὸ ὕδωρ καὶ πάλιν ἀνέβησαν. [ἀλλ' οὗτοι ζῶντες κατέβησεν καὶ πάλιν ζῶντες ἀνέβησαν· ἐκεῖνοι δὲ οἱ προκεκοιμημένοι νεκροὶ κατέβησαν, ζῶντες
7 δὲ ἀνέβησαν]. [7]διὰ τούτων οὖν ἐζωοποιήθησαν καὶ ἐπέγνωσαν τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ. διὰ τοῦτο καὶ συνανέβησαν μετ' αὐτῶν καὶ συνηρμόσθησαν εἰς τὴν οἰκοδομὴν τοῦ πύργου καὶ ἀλατόμητοι συνῳκοδομήθησαν· ἐν δικαιοσύνῃ γὰρ ἐκοιμήθησαν καὶ ἐν μεγάλῃ ἁγνείᾳ, μόνον δὲ τὴν σφραγῖδα ταύτην οὐκ εἶχον. ἔχεις οὖν καὶ τὴν τούτων ἐπίλυσιν'.

1 XVII. ,Ἔχω', φημί, ,κύριε. νῦν οὖν, κύριε, περὶ τῶν ὀρέων μοι δήλωσον· διὰ τί ἄλλαι καὶ ἄλλαι εἰσὶν αἱ ἰδέαι καὶ ποικίλαι'; ,Ἄκουε', φησί· ,τὰ ὄρη ταῦτα τὰ δώδεκα [δώδεκα] φυλαί εἰσιν αἱ κατοικοῦσαι ὅλον τὸν κόσμον. ἐκηρύχθη οὖν εἰς ταύτας ὁ υἱὸς
2 τοῦ θεοῦ διὰ τῶν ἀποστόλων'. [2],Διὰ τί δὲ ποικίλα, καὶ ἄλλη καὶ ἄλλη ἰδέα ἐστὶ τὰ ὄρη, δήλωσόν μοι, κύριε. Ἄκουε, φησίν· αἱ δώδεκα φυλαὶ αὗται αἱ κατοικοῦσαι ὅλον τὸν κόσμον δώδεκα ἔθνη εἰσί. ποικίλα δέ εἰσι τῇ φρονήσει καὶ τῷ νοΐ· οἷα οὖν εἶδες τὰ ὄρη ποίκιλα, τοιαῦταί εἰσι καὶ τούτων αἱ ποικιλίαι τοῦ νοὸς τῶν ἐθνῶν καὶ ἡ φρόνησις. δηλώσω δέ σοι καὶ ἑνὸς ἑκάστου τὴν
3 πρᾶξιν'. [3],Πρῶτον', φημί, ,κύριε, τοῦτο δήλωσον, διὰ τί οὕτω ποικίλα ὄντα τὰ ὄρη, εἰς τὴν οἰκοδομὴν ὅταν ἐτέθησαν οἱ λίθοι αὐτῶν, μία χρόα ἐγένοντο, λαμπροί, ὡς καὶ οἱ ἐκ τοῦ βυθοῦ ἀνα-
4 βεβηκότες λίθοι'; [4],Ὅτι', φησί, ,πάντα τὰ ἔθνη τὰ ὑπὸ τὸν οὐρανὸν κατοικοῦντα, ἀκούσαντα καὶ πιστεύσαντα ἐπὶ τῷ ὀνόματι ἐκλήθησαν [τοῦ υἱοῦ] τοῦ θεοῦ. λαβόντες οὖν τὴν σφραγῖδα μίαν φρόνησιν ἔσχον καὶ ἕνα νοῦν, καὶ μία πίστις αὐτῶν ἐγένετο καὶ μία ἀγάπη, καὶ τὰ πνεύματα τῶν παρθένων μετὰ τοῦ ὀνόματος ἐφόρεσαν· διὰ τοῦτο ἡ οἰκοδομὴ τοῦ πύργου μία χρόα ἐγένετο, λαμ-
5 πρὰ ὡς ὁ ἥλιος. [5]μετὰ δὲ τὸ εἰσελθεῖν αὐτοὺς ἐπὶ τὸ αὐτὸ καὶ

ζῶντες δὲ ἀνέβησαν. διὰ τούτων οὖν ἐζωοποιήθησαν καὶ ἐπέγνωσαν τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ. διὰ τοῦτο καὶ συνανέβησαν μετ' αὐτῶν καὶ συνήρμοσαν εἰς τὴν οἰκοδομὴν τοῦ πύργου καὶ ἀλατόμητοι συνῳκοδομήθησαν. ἐν δικαιοσύνῃ ἐκοιμήθησαν καὶ ἐν μεγάλῃ ἁγνείᾳ, μόνον δὲ τὴν σφραγῖδα ταύτην οὐκ ἔσχον. VI, 6, 46 p. 764: καλῶς εἴρηται τῷ Ποιμένι Κατέβησαν οὖν αὐτῶν (l. μετ' αὐτῶν) εἰς τὸ ὕδωρ· ἀλλ' οὗτοι μὲν ζῶντες κατέβησαν καὶ ζῶντες ἀνέβησαν, ἐκεῖνοι δὲ οἱ προκεκοιμημένοι νεκροὶ κατέβησαν, ζῶντες δὲ ἀνέβησαν.

Sim. IX, XVI. 2—4. uncis inclusa v. p. ae. Ang. Hg.[1] Gh. F., om. L. (propter homoeotel.) Ti. 4. τούτων Clem. Al. v. et edd., τοῦτο p. ae. 7. γὰρ L.[2] v. p. ae. et edd., om. Clem. Al.
XVII. 10. Ἔχω, φημί, κύριε L. et edd., om. v. p. ae. 12. [δώδεκα] v. p. ae. Gh. F., om. L. ed. pr. Ti. Hg.[1] 18. 19. αἱ ποικιλίαι τοῦ νοὸς τῶν ἐθνῶν L. ed. pr. Ti. Gh. F., τῶν ἐθνῶν αἱ ποικ. τ. ν. Hg.[1] 25. [τοῦ υἱοῦ] τοῦ θεοῦ v. p. ae. ed. pr. Hg.[1] Gh. F., τοῦ θεοῦ L. Ti. 28. sq. λαμπρὰ v. p. ae. et edd., λαμπρός L.

γενέσθαι ἓν σῶμα τινὲς ἐξ αὐτῶν ἐμίαναν ἑαυτοὺς καὶ ἐξεβλήθησαν ἐκ τοῦ γένους τῶν δικαίων καὶ πάλιν ἐγένοντο οἷοι πρότερον ἦσαν, μᾶλλον δὲ καὶ χείρονες‘. XVIII. ‚Πῶς‘, φημί, ‚κύριε, ἐγένοντο χείρονες, θεὸν ἐπεγνωκότες‘; ‚Ὁ μὴ γινώσκων, φησί, ‚θεὸν καὶ πονηρευόμενος ἔχει κόλασίν τινα τῆς πονηρίας αὐτοῦ, ὁ δὲ θεὸν ἐπιγνοὺς οὐκ ἔτι ὀφείλει πονηρεύεσθαι, ἀλλ' ἀγαθοποιεῖν. [2]ἐὰν οὖν ὀφείλων ἀγαθοποιεῖν πονηρεύηται, οὐ δοκεῖ πλείονα πονηρίαν ποιεῖν παρὰ τὸν μὴ γινώσκοντα τὸν θεόν; διὰ τοῦτο οἱ μὴ ἐγνωκ[ό]τες θεὸν καὶ πονηρευόμενοι κεκριμένοι εἰσὶν εἰς θάνατον, οἱ δὲ τὸν θεὸν ἐγνωκότες καὶ τὰ μεγαλεῖα αὐτοῦ ἑωρακότες καὶ πονηρευόμενοι δισσῶς κολασθήσονται καὶ ἀποθανοῦνται εἰς τὸν αἰῶνα. [3]οὕτως οὖν καθαρισθήσεται ἡ ἐκκλησία τοῦ θεοῦ, ὡς εἶδες ἐκ τοῦ πύργου τοὺς λίθους [ἠρ]μένους καὶ παραδεδομένους τοῖς πνεύμασι τοῖς πονηροῖς καὶ ἐκεῖθεν ἐκβληθέντας. καὶ ἔσται ἓν σῶμα τῶν κεκαθαρμένων, ὥσπερ καὶ ὁ πύργος ἐφαίνετο ὡς ἐξ ἑνὸς λίθου γεγονὼς μετὰ τὸ καθαρισθῆναι αὐτόν. οὕτως ἔσται καὶ ἡ ἐκκλησία τοῦ θεοῦ μετὰ τὸ καθαρισθῆναι αὐτὴν καὶ ἀποβληθῆναι τοὺς πονηροὺς καὶ ὑποκριτὰς καὶ βλασφήμους καὶ διψύχους καὶ πονηρευομένους ποικίλαις πονηρίαις. [4]μετὰ τὸ τούτους ἀποβληθῆναι ἔσται ἡ ἐκκλησία τοῦ θεοῦ ἓν σῶμα, μία φρόνησις, εἷς νοῦς, μία πίστις, μία ἀγάπη. καὶ τότε ὁ υἱὸς τοῦ θεοῦ ἀγαλλιάσεται καὶ εὐφρανθήσεται ἐν αὐτοῖς ἀπειληφὼς τὸν λαὸν αὐτοῦ καθαρόν‘.

‚Μεγάλως‘, φημί, ‚κύριε, καὶ ἐνδόξως πάντα ἔχει. [5]ἔτι‘, φημί, ‚κύριε, τῶν ὀρέων ἑνὸς ἑκάστου δήλωσόν μοι τὴν δύναμιν καὶ τὰς πράξεις, ἵνα πᾶσα ψυχὴ πεποιθυῖα ἐπὶ τὸν κύριον ἀκούσασα δοξάσῃ τὸ μέγα καὶ θαυμαστὸν καὶ ἔνδοξον ὄνομα αὐτοῦ‘· ‚Ἄκουε‘, φησί, ‚τῶν ὀρέων τὴν ποικιλίαν καὶ τῶν δώδεκα ἐθνῶν. XIX. ἐκ τοῦ πρώτου ὄρους τοῦ μέλανος οἱ πιστεύσαντες τοιοῦτοί εἰσιν· ἀποστάται καὶ βλάσφημοι εἰς τὸν κύριον καὶ προδόται

Sim. IX, XVIII. 15. 16. cf. quae ad c. Vis. III, 2 p. 15, 16. 17 notata sunt.

Sim. IX, XVII. 1. ἐξ αὐτῶν v. p. et edd., ἔξω L. 3. δὲ καὶ v. (p. ae.) Gh. F., δὲ ἢ L., δὲ ed. pr. Ti. Hg.[1]
XVIII. 4. θεὸν (cf. sequentia) p. Hg.[1] Gh. F., dominum v. ae., χν (χριστὸν) L. ed. pr. Ti. 7. ὁ ὀφείλων ἀγαθοποιεῖν v. p. ae. Gh. F., ὀφείλων ἀγαθοποιεῖν ed. pr. Ti. Hg.[1], ὁ φιλῶν ἄγαν L. 12. ὡς p. ae. (etiam v., cuius omnia transponentis „ergo“ post „sicut“ respondet praecedenti voc. οὖν), ὡς δὲ L. et edd. deleto voc. δὲ omnia sana sunt, modo recte distinguas. ante ὡς non punctum, sed comma ponendum est. 13. [ἠρ]μένους v. p. ae. Gh. F., [ῥιπτ]ομένους ed. pr. Ti. Hg.[1] 14. καὶ ἐκεῖθεν ἐκβληθέντας L. ed. pr. Ti. Gh. F., postquam eiecti sunt v. (praemisit) ae. (emendatus), et ipsi enim abicientur p., καὶ ἐκεῖθεν ἐκβληθέντας. καὶ [αὐτοὶ ἐκβληθήσονται, καὶ] ἔσται Hg.[1] F. (uncis paulo aliter positis). | καὶ ἔσται L. (non obstantibus v. ae.) et edd., ὥστε φαίνεσθαι Lipsius (Ien. L.-Z. 1878, 2). 15. ἐφαίνετο Origenes (φαινομένην) v. (crederetur) ae. (facta videbatur), ἐγένετο L. p. et edd. 25. ἑκάστου v. p. ae. (ed. pr. Ti.) Hg.[1] Gh. F., ἑκάστου, κύριε L.

τῶν δούλων τοῦ θεοῦ. τούτοις δὲ μετάνοια οὔκ ἐστι, θάνατος δέ ἐστι, καὶ διὰ τοῦτο καὶ μέλανές εἰσι· καὶ γὰρ τὸ γένος αὐτῶν ἄνομόν ἐστιν. [2]ἐκ δὲ τοῦ δευτέρου ὄρους τοῦ ψιλοῦ οἱ πιστεύσαντες τοιοῦτοί εἰσιν· ὑποκριταὶ καὶ διδάσκαλοι πονηρίας. καὶ οὗτοι οὖν τοῖς προτέροις ὅμοιοί εἰσι, μὴ ἔχοντες καρπὸν δικαιοσύνης· ὡς γὰρ τὸ ὄρος αὐτῶν ἄκαρπον, οὕτω καὶ οἱ ἄνθρωποι οἱ τοιοῦτοι ὄνομα μὲν ἔχουσιν, ἀπὸ δὲ τῆς πίστεως κενοί εἰσι, καὶ οὐδεὶς ἐν αὐτοῖς καρπὸς ἀληθείας. τούτοις οὖν μετάνοια κεῖται, ἐὰν ταχὺ μετανοήσωσιν· ἐὰν δὲ βραδύνωσι, μετὰ τῶν προτέρων ἔσται ὁ θάνατος αὐτῶν‘. [3],Διὰ τί‘, φημί, ,κύριε, τούτοις μετάνοιά ἐστι, τοῖς δὲ προτέροις οὔκ ἐστι; παρά τι γὰρ αἱ αὐταὶ αἱ πράξεις αὐτῶν εἰσί‘. ,Διὰ τοῦτο‘, φησί, ,τούτοις μετάνοια κεῖται, ὅτι οὐκ ἐβλασφήμησαν τὸν κύριον αὐτῶν, οὐδὲ ἐγένοντο προδόται τῶν δούλων τοῦ θεοῦ, διὰ δὲ τὴν ἐπιθυμίαν τοῦ λήμματος ὑπεκρίθησαν, καὶ ἐδίδαξαν κατὰ τὰς ἐπιθυμίας τῶν ἀνθρώπων τῶν ἁμαρτανόντων. ἀλλὰ τίσουσι δίκην τινά· κεῖται δὲ αὐτοῖς μετάνοια διὰ τὸ μὴ γενέσθαι αὐτοὺς βλασφήμους μηδὲ προδότας.

XX. ἐκ δὲ τοῦ ὄρους τοῦ τρίτου τοῦ ἔχοντος ἀκάνθας καὶ τριβόλους οἱ πιστεύσαντες τοιοῦτοί εἰσι· οἱ μὲν πλούσιοι, οἱ δὲ πραγματείαις πολλαῖς ἐμπεφυρμένοι. οἱ μὲν τρίβολοί εἰσιν οἱ πλούσιοι, αἱ δὲ ἄκανθαι οἱ ἐν ταῖς πραγματείαις ταῖς πολλαῖς ἐμπεφυρμένοι. [2]οὗτοι [οὖν οἱ πολλαῖς καὶ ποικίλαις πραγματείαις ἐνεχόμενοι οὐ] κολλῶνται τοῖς δούλοις τοῦ θεοῦ, ἀλλ᾽ ἀποπλανῶνται πνιγόμενοι ὑπὸ τῶν πράξεων αὐτῶν· οἱ δὲ πλούσιοι δυσκόλως κολλῶνται τοῖς δούλοις τοῦ θεοῦ, φοβούμενοι μή τι αἰτισθῶσιν ὑπ᾽ αὐτῶν. οἱ τοιοῦτοι οὖν δυσκόλως εἰσελεύσονται εἰς τὴν βασιλείαν τοῦ θεοῦ. [3]ὥσπερ γὰρ ἐν τριβόλοις γυμνοῖς ποσὶ περιπατεῖν δύσκολόν ἐστιν, οὕτω καὶ τοῖς τοιούτοις δύσκολόν ἐστιν εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν. [4]ἀλλὰ τούτοις πᾶσι μετάνοιά ἐστι, ταχινὴ δέ, ἵν᾽ ὃ τοῖς προτέροις χρόνοις

Mt. XIX, 23 sq.

Sim. IX, XIX. 3. ψιλοῦ (cf. c. I. p. 105, 18) v. et edd., ὑψηλοῦ L. ae., ξηροῦ p. 11. προτέροις v. p. ae. Hg.[1] Gh. F., πρώτοις L. ed. pr. Ti. 11. 12. αἱ αὐταὶ αἱ v. p. ae. Hg.[1] Gh. F., καὶ αὗται αἱ L. ed. pr. Ti., αἱ αὐταὶ proposuit Ang. 15. ἐδίδαξαν κατὰ v. (docentes eos secundum) p. (docendo secundum desideria singulorum) ae. (docuerunt homines secundum) Gh. F., ἐδίδαξεν ἕκαστος L. ed. pr. Ti., ἐδίδαξεν ἕκαστος κατὰ Hg.[1]

XX. 19. οἱ μὲν v. p. (ed. pr.), τινὲς ἐξ αὐτῶν οἱ μὲν (Ti.) L. Hg.[1], ἐξ αὐτῶν οἱ μὲν Gh. F., et ex his quoque ae., om. v. p. 22. 23. uncis inclusa v. (hi ergo, qui plurimis obligati sunt negotiis variisque rebus, non adiungunt se) p. (hi ergo, qui plurimis variisque rebus impliciti sunt, non se adiungunt) ae. (qui habent multas sollicitudines, non sequuntur) Hg.[1] (ἐν πλείσταις pro πολλαῖς et ἐμπεπλεγμένοι pro ἐνεχόμενοι) Gh. (ἐν πολλαῖς — ἐμπεφυρμένοι pro ἐνεχόμενοι) F. (ut Gh.), om. L., ubi ed. pr. Ti. solum οὐ deesse animadverterunt. 26. μή τι αἰτισθῶσιν ὑπ᾽ αὐτῶν v. (ne quid poscatur ab illis) p. (ne aliquid poscatur) ae. (ne quidquam e divitiis suis perdant) Hg.[1] Gh. F., μή τι αἰτιαθῶσιν ἀπ᾽ αὐτῶν L. ed. pr. Ti. 30. ταχεινὴ L. | ἵν᾽ ὃ L. Ti. Hg.[1] Gh. F., ἵνα ὃ ed. pr.

οὐκ εἰργάσαντο, νῦν ἀναδράμωσιν ἐν ταῖς ἡμέραις καὶ ἀγαθόν τι ποιήσωσι. καὶ [ἐὰν μετανοήσωσι καὶ ἀγαθόν τι ποιήσωσι], ζήσονται τῷ θεῷ. ἐὰν δὲ ἐπιμείνωσι ταῖς πράξεσιν αὐτῶν, παραδοθήσονται ταῖς γυναιξὶν ἐκείναις, αἵτινες αὐτοὺς θανατώσουσιν. XXI. ἐκ δὲ τοῦ τετάρτου ὄρους τοῦ ἔχοντος βοτάνας πολλάς, τὰ μὲν ἐπάνω τῶν βοτανῶν χλωρά, τὰ δὲ πρὸς ταῖς ῥίζαις ξηρά, τινὲς δὲ καὶ ἀπὸ τοῦ ἡλίου ξηραινόμεναι, οἱ πιστεύσαντες τοιοῦτοί εἰσιν· οἱ μὲν δίψυχοι, οἱ δὲ τὸν κύριον ἔχοντες ἐπὶ τὰ χείλη, ἐπὶ τὴν καρδίαν δὲ μὴ ἔχοντες. [2]διὰ τοῦτο τὰ θεμέλια αὐτῶν ξηρά ἐστι καὶ δύναμιν μὴ ἔχοντα, καὶ τὰ ῥήματα αὐτῶν μόνα ζῶσι, τὰ δὲ ἔργα αὐτῶν νεκρά ἐστιν. οἱ τοιοῦτοι [οὔτε ζῶσιν οὔτε] τεθνήκασιν. ὅμοιοι οὖν εἰσὶ τοῖς διψύχοις· καὶ γὰρ οἱ δίψυχοι οὔτε χλωροί εἰσιν οὔτε ξηροί· οὔτε γὰρ ζῶσιν οὔτε τεθνήκασιν. [3]ὥσπερ γὰρ αὐτῶν αἱ βοτάναι ἥλιον ἰδοῦσαι ἐξηράνθησαν, οὕτω καὶ οἱ δίψυχοι, ὅταν θλῖψιν ἀκούσωσι, διὰ τὴν δειλίαν αὐτῶν εἰδωλολατροῦσι καὶ τὸ ὄνομα ἐπαισχύνονται τοῦ κυρίου αὐτῶν. [4]οἱ τοιοῦτοι οὖν [οὔτε ζῶσιν] οὔτε τεθνήκασιν. ἀλλὰ καὶ οὗτοι ἐὰν ταχὺ μετανοήσωσιν, [δύνανται ζῆσαι· ἐὰν δὲ μὴ μετανοήσωσιν], ἤδη παραδεδομένοι εἰσὶ ταῖς γυναιξὶ ταῖς ἀποφερομέναις τὴν ζωὴν αὐτῶν. XXII. ἐκ δὲ τοῦ ὄρους τοῦ πέμπτου τοῦ ἔχοντος βοτάνας χλωρὰς καὶ τραχέος ὄντος οἱ πιστεύσαντες τοιοῦτοί εἰσι· πιστοὶ μέν, δυσμαθεῖς δὲ καὶ αὐθάδεις καὶ ἑαυτοῖς ἀρέσκοντες, θέλοντες πάντα γινώσκειν, καὶ οὐδὲν ὅλως γινώσκουσι. [2]διὰ τὴν αὐθάδειαν αὐτῶν ταύτην ἀπέστη ἀπ᾽ αὐτῶν ἡ σύνεσις, καὶ εἰσῆλθεν εἰς αὐτοὺς ἀφροσύνη μωρά. ἐπαινοῦσι δὲ ἑαυτοὺς ὡς σύνεσιν ἔχοντας καὶ θέλουσιν ἐθελοδιδάσκαλοι εἶναι, ἄφρονες ὄντες. [3]διὰ ταύτην οὖν τὴν ὑψηλοφροσύνην πολλοὶ ἐκενώθησαν ὑψοῦντες ἑαυτούς· μέγα γὰρ δαιμόν[ιόν ἐστ]ιν [ἡ αὐθάδει]α [καὶ ἡ κενὴ πεποίθησις]· ἐκ τούτων οὖν πολλοὶ ἀπεβλήθησαν, τινὲς δὲ μετενόησαν

Sim. IX, XX. 1. ἐν ταῖς ἡμέραις ed. pr. Ti. Hg.[1], ταῖς ἡμέραις Gh. F., repetito tempore v., dies suos p., illos dies ae. 2. uncis inclusa v. (acta igitur poenitentia si fecerint opera bonitatis) p. (isti enim si egerint poenitentiam et operam bonam faciant) ae. (et simulatque poenitentiam egerint et bonum fecerint) Gh. (om. praecedens καί) F. (ut Gh.), om. L.[2] ed. pr. Ti. Hg.[1] 4. γυναιξὶν v. p. ae. et edd., πράξεσιν L.

XXI. 6. χλωρά (cf. c. I. p. 105, 21) ed. pr. Hg.[1] Gh. F., χλωράς L. Ti. | ξηρά (cf. l. l.) ed. pr. Hg.[1] Gh. F., χλωράς L. Ti. 11. uncis inclusa v. p. ae. et edd., om. L. 12. 13. οὔτε χλωροί εἰσιν οὔτε ξηροί v. p. ae. Gh. F., οὔτε ξηροί εἰσιν οὔτε χλωροί L. ed. pr. Ti. Hg.[1] 17. οὔτε ζῶσιν v. p. ae. et edd., om. L. 17. 18. ἐὰν ταχὺ μετανοήσωσιν, [δύνανται ζῆσαι· ἐὰν δὲ μὴ μετανοήσωσιν] v. (possunt vivere, si cito egerint poenitentiam; sin minus) p. (ut v., in fine: vero pro: minus) ae. (dum cito poenitentiam egerint, poterunt vivere; sin poenitentiam non egerint) Hg.[1] ([δύνανται ζῆν], ἐὰν ταχὺ μετανοήσωσιν, [ἐὰν δὲ μὴ μετανοήσωσιν]) Gh. (δυνήσονται pro δύνανται) F. (ut Gh.), om. L. propter homoeoteleuton.

XXI. 27. ὑψηλοφροσύνην L. et edd., ἀφροσύνην (stultitiam) verterunt v. p. ae. 28 sq. [καὶ ἡ κενὴ πεποίθησις] v. (et confidentia inanis) p. (ut v.) ae. (et fiducia in semet ipso) Hg.[1] Gh. F.; evanuerunt in L., neque suppleta sunt ab ed. pr. Ti.

καὶ ἐπίστευσαν καὶ ὑπέταξαν ἑαυτοὺς [τοῖ]ς ἔχουσι σύν[εσιν, γνόντες
4 τὴν] ἑαυτῶν ἀφροσύνην. ⁴καὶ τοῖς λοιποῖς δὲ τοῖς τοιούτοις κεῖται
μετάνοια· οὐκ ἐγένοντο γὰρ πονηροί, μᾶλλον δὲ [μωροὶ καὶ ἀσύν-
ετοι. οὗτοι οὖν ἐὰν] μετανοήσωσι, ζήσονται τῷ θεῷ, ἐὰν δὲ μὴ
μετανοήσωσι, κατοικήσουσι μετὰ τῶν γυναικῶν τῶν πονηρευομένων
1 εἰς αὐτούς. XXIII. οἱ δὲ ἐκ τοῦ [ὄρους τοῦ] ἕκτου τοῦ ἔχοντος
σχισμὰς μεγάλας καὶ μικρὰς καὶ ἐν ταῖς σχισμαῖς βοτάνας μεμα-
2 ραμμένας πιστεύσαντες τοιοῦτοί εἰσιν· ²οἱ μὲν τὰς σχισμὰς τὰς
μικρὰς ἔχοντες, οὗτοί εἰσιν οἱ κατ᾽ ἀλλήλων ἔχοντες, καὶ ἀπὸ τῶν
καταλαλιῶν ἑαυτῶν μεμαραμμένοι εἰσὶν ἐν τῇ πίστει· ἀλλὰ μετε-
νό[ησαν] ἐκ τούτων πολλοί. καὶ οἱ λοιποὶ δὲ μετανοήσουσιν, ὅταν
ἀκούσωσί μου τὰς ἐντολάς· μικραὶ γὰρ αὐτῶν εἰσὶν αἱ καταλαλίαι,
3 καὶ ταχὺ μετανοήσουσιν. ³οἱ δὲ μεγάλας ἔχοντες σχισμάς, οὗτοι
παράμονοί εἰσι ταῖς καταλαλίαις αὐτῶν καὶ μνησίκακοι γίνονται μη-
νιῶντες ἀλλ[ήλοις]. οὗτοι οὖν ἀπὸ τοῦ πύργου ἀπερρίφησαν καὶ ἀπε-
δοκιμάσθησαν τῆς οἰκοδομῆς αὐτοῦ. οἱ τοιοῦτοι οὖν δυσκόλως ζήσον-
4 ται. ⁴εἰ ὁ θεὸς καὶ κύριος ἡμῶν ὁ πάντων κυριεύων καὶ ἔχων πάσης
τῆς κτίσεως αὐτοῦ τὴν ἐξουσίαν οὐ μνησικακεῖ τοῖς ἐξομολογου-
μένοις τὰς ἁμαρτίαις αὐ[τῶν], ἀλλ᾽ ἵλεως γίνεται, ἄνθρωπος φθαρτὸς
Iac. IV, 12. ὢν καὶ πλήρης ἁμαρτιῶν ἀνθρώπῳ μνησικακεῖ ὡς δυνάμενος ἀπο-
5 λέσαι ἢ σῶσαι αὐτόν; ⁵λέγω δ[ὲ ὑ]μ[ῖν, ὁ] ἄγγελος τῆς μετανοίας,
ὅσοι ταύτην ἔχετε τὴν αἵρεσιν, ἀπόθεσθε αὐτὴν καὶ μετανοήσατε,
καὶ ὁ κύριος ἰάσεται ὑμῶν τὰ πρότερ[α ἁμαρτήματα], ἐὰν καθαρί-
σητε ἑαυτοὺς ἀπὸ τούτου τοῦ δαιμονίου· εἰ δὲ μή, παραδοθήσεσθε
1 αὐτῷ εἰς θάνατον. XXIV. ἐκ δὲ τοῦ ἑβδόμο[υ ὄρους, ἐν ᾧ
βοτάναι] χλωραὶ [καὶ] ἱλαραί, καὶ ὅλον τὸ ὄρος εὐθηνοῦν, καὶ πᾶν
γένος κτηνῶν καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ ἐνέμοντο τὰς βοτ[άνας
ἐν τούτῳ τῷ] ὄρει, καὶ αἱ [βοτ]άναι ἃς ἐνέμοντο μᾶλλον εὐθαλεῖς
2 ἐγίνοντο, οἱ πιστεύσαντες τοιοῦτοί εἰσι· ²πάντοτε ἁπλοῖ [καὶ ἄ]κακοι
[καὶ μακάριοι ἐ]γίνοντο, μηδὲν κατ᾽ ἀλλήλων ἔχοντες, ἀλλὰ πάντοτε
ἀγαλλιώμενοι ἐπὶ τοῖς δούλοις τοῦ θεοῦ καὶ ἐνδεδυμένοι [τὸ] πνεῦμα
[τὸ ἅγιον τούτων τῶν πα]ρθένων καὶ πάντοτε σπλάγχνον ἔχοντες
ἐπὶ πάντα ἄνθρωπον, καὶ ἐκ τῶν κόπων αὐτῶν παντὶ ἀνθρώπῳ

Sim. IX, XXII. 1 sq. [γνόντες τὴν] v. p. ae. Hg.[1] Gh. F., [ἐπιγνόντες τὴν] ed. pr., non supplevit Ti. 3. 4. [μωροὶ — ἐὰν] v. (insipientes vero potius et stulti. hi ergo si) p. (sed sulti potius et insipientes. hi ergo si) ae. (prout amentes fuerunt et aberraverunt. et hi quoque simul atque) Hg.[1] Gh. F., πονηρο . . . . . [ἐὰν οὖν] ed. pr., πονηρο . . . . . L. Ti.

XXIII. 7 sq. μεμαραμμένος (cf. Vis. III. 11, 2 p. 26, 11) Hg.[1] Gh. F., μεμαρασμένας L. ed. pr. Ti. 10. μεμαραμμένοι v. (languent) p. (marcidi sunt) ae. (marcescere facit) Hg.[1] Gh. L., μεμωραμένοι L. ed. pr. Ti. 17. εἰ L. ae. et edd., om. v. p. κύριος ae., ὁ κύριος L. et edd.

XXIV. 30. [καὶ μακάριοι ἐ] L. (suppletus) ae. Hg.[1] Gh. F., πάντοτε s. διὰ παντὸς coni. Aug., non supplevit Ti., om. v. p. 31 sq. [τὸ] πνεῦμα [τὸ ἅγιον τούτων τῶν πα]ρθένων p. ae. (om. τούτων) (Ti.) Hg.[1] Gh. F., [τὸ] πνεῦμα τούτων τῶν πα]ρθένων v. ed. pr.

ἐχορήγησαν ἀνονειδίστως καὶ ἀδιστάκτως. [3][ὁ οὖν] κύριος ἰδὼν τὴν ἁπλότητα αὐτῶν καὶ πᾶσαν νηπιότητα ἐπλήθυνεν αὐτοὺς ἐν τοῖς κόποις τῶν χειρῶν αὐτῶν καὶ ἐχαρίτωσεν αὐτοὺς ἐν πάσῃ πράξει αὐτῶν. [4]λέγω δὲ ὑμῖν τοῖς τοιούτοις οὖσιν ἐγὼ ὁ ἄγγελος τῆς μετανοίας· διαμείνατε τοιοῦτοι, καὶ οὐκ ἐξαλειφθήσεται [τὸ σ]πέρμα ὑμῶν ἕως αἰῶνος· ἐδοκίμασε γὰρ ὑμᾶς ὁ κύριος καὶ ἐνέγραψεν ὑμᾶς εἰς τὸν ἀριθμὸν τὸν ἡμέτερον, καὶ ὅλον τὸ σπέρμα ὑμῶν κατοικήσει μετὰ τοῦ υἱοῦ τοῦ θεοῦ· ἐκ γὰρ τοῦ πνεύματος αὐτοῦ ἐλάβετε. XXV. ἐκ δὲ τοῦ ὄρους τοῦ ὀγδόου, οὗ ἦσαν αἱ πολλαὶ πηγαί, καὶ πᾶσα ἡ κτίσις τοῦ κυρίου ἐποτίζετο ἐκ τῶν πηγῶν, οἱ πιστεύσαντες τοιοῦτοί εἰσιν· [2]ἀπόστολοι καὶ διδάσκαλοι οἱ κηρύξαντες εἰς ὅλον τὸν κόσμον καὶ οἱ διδάξαντες σεμνῶς καὶ ἁγνῶς τὸν λόγον τοῦ κυρίου, καὶ μηδὲν ὅλως νοσφισάμενοι εἰς ἐπιθυμίαν πονηράν, ἀλλὰ πάντοτε ἐν δικαιοσύνῃ καὶ ἀληθείᾳ πορευθέντες, καθὼς καὶ παρέλαβον τὸ πνεῦμα τὸ ἅγιον. τῶν τοιούτων οὖν ἡ πάροδος μετὰ τῶν ἀγγέλων ἐστίν. XXVI. ἐκ δὲ τοῦ ὄρους τοῦ ἐνάτου τοῦ ἐρημώδους τοῦ [τὰ] ἑρπετὰ καὶ θηρία ἐν αὐτῷ ἔχοντος τὰ διαφθείροντα τοὺς ἀνθρώπους οἱ πιστεύσαντες τοιοῦτοί εἰσιν· [2]οἱ μὲν τοὺς σπίλους ἔχοντες διάκονοί εἰσι κακῶς διακονήσαντες καὶ διαρπάσαντες χηρῶν καὶ ὀρφανῶν τὴν ζωὴν καὶ ἑαυτοῖς περιποιησάμενοι ἐκ τῆς διακονίας ἧς ἔλαβον διακονῆσ[αι]. ἐὰν οὖν ἐπιμείνωσι τῇ αὐτῇ ἐπιθυμίᾳ, ἀπέθανον, καὶ οὐδεμία αὐτοῖς ἐλπὶς ζωῆς· ἐὰν δὲ ἐπιστρέψωσι καὶ ἁγνῶς τελειώσωσι τὴν διακονίαν αὐτῶν, δυνήσονται ζῆσαι. [3]οἱ δὲ ἐψωριακότες, οὗτοι οἱ ἀρνησάμενοί εἰσι καὶ μὴ ἐπιστρέψαντες ἐπὶ τὸν κύριον ἑαυτῶν, ἀλλὰ χερσωθέντες καὶ γενόμενοι ἐρημώδεις, μὴ κολλώμενοι τοῖς δούλοις τοῦ θεοῦ, ἀλλὰ μονάζοντες ἀπολλύουσι τὰς ἑαυτῶν ψυχάς. [4]ὡς γὰρ ἄμπελος ἐν φραγμῷ τινὶ καταλειφθεῖσα ἀμελείας τυγχάνουσα καταφθείρεται καὶ ὑπὸ τῶν βοτανῶν ἐρημοῦται καὶ τῷ χρόνῳ ἀγρία γίνεται, καὶ οὐκέτι εὔχρηστός ἐστ[ι] τῷ δεσπότῃ ἑαυτῆς, οὕτω καὶ οἱ τοιοῦτοι ἄνθρωποι ἑαυτοὺς ἀπεγνώκασι καὶ γίνονται ἄχρηστοι τῷ κυρίῳ ἑαυτῶν ἀγριωθέντες. [5]τούτοις οὖν μετάνοια γίνεται, ἐὰν μὴ ἐκ καρδίας εὑρεθῶσιν ἠρνημένοι· ἐὰν δὲ ἐκ καρδίας εὑρεθῇ ἠρνημένος τις, οὐκ οἶδα εἰ δύναται ζῆσαι. [6]καὶ τοῦτο οὐκ εἰς ταύτας τὰς ἡμέρας λέγω, ἵνα τις ἀρνησάμενος μετάνοιαν λάβῃ· ἀδύνατον γάρ ἐστι σωθῆναι τὸν μέλλοντα νῦν ἀρνεῖσθαι τὸν κύριον

Sir. XX, 15. XLI, 22. Jac. I, 5.

Sim. IX, XXIV. 2. νηπιότητα (cf. c. XXIX, 1) v. p. Gh. F., ἠπιότητα L. ed. pr. Hg.[1]. sinceritatem ae. 7. τὸν ἡμέτερον L. v. p. et edd., suum ae. 8. πνεύματος v. p. ae. et edd., σπέρματος L. 9. ἐλάβετε L. ae. et edd., estis v. p.
XXVI. 18. αὐτῷ (cf. c. I. p. 106, 9). Hg.[1], αὐτῷ ed. pr. Ti. Gh. F. 21. διακονῆσ[αι] v. (ministrare Vat. D.) ae. (quibus praepositi erant) A. Harnack Gh. F. (spatii ratione habita), διακονήσ[αντες] ed. pr. Ti. Hg.[1] 35. λάβῃ Hg.[1] Gh. F., λάβοι (corr. e. λάβῃ) L. ed. pr. Ti.

ἑαυτοῦ· ἀλλ᾽ ἐκείνοις τοῖς πάλαι ἠρνημένοις δοκεῖ κεῖσθαι μετάνοια. εἴ τις οὖν μέλλει μετανοεῖν, ταχινὸς γενέσθω πρὶν τὸν πύργον ἀποτελεσθῆναι· εἰ δὲ μή, ὑπὸ τῶν γυναικῶν καταφθαρήσεται εἰς θάνατον. [7]καὶ οἱ κολοβοί, οὗτοι δόλιοί εἰσι καὶ κατάλαλοι· καὶ τὰ θηρία ἃ εἶδες εἰς τὸ [ἔνατον] ὄρος οὗτοί εἰσιν. ὥσπερ γὰρ τὰ θηρία διαφθείρει τῷ ἑαυτῶν ἰῷ τὸν ἄνθρωπον καὶ ἀπολλύει, οὕτω καὶ τῶν τοιούτων ἀνθρώπων τὰ ῥήματα δ[ια]φθείρει τὸν ἄνθρωπον καὶ ἀπολλύει. [8]οὗτοι οὖν κολοβοί εἰσιν ἀπὸ τῆς πίστεως αὐτῶν διὰ τὴν πρᾶξιν ἣν ἔχουσιν ἐν ἑαυτοῖς· τινὲς δὲ μετενόησαν καὶ ἐσώθησαν. καὶ οἱ λοιποὶ οἱ τοιοῦτοι ὄντες δύνανται σωθῆναι, ἐὰν μετανοήσωσιν· ἐὰν δὲ μὴ μετανοήσωσιν, ἀπὸ τῶν γυναικῶν ἐκείνων ὧν τὴν δύναμιν ἔχουσιν ἀποθανοῦνται. XXVII. ἐκ δὲ τοῦ ὄρους τοῦ δεκάτου, οὗ ἦσαν δένδρα σκεπάζοντα πρόβατ[ά] τινα, οἱ πιστεύοντες τοιοῦτοί εἰσιν· [2]ἐπίσκοποι καὶ φιλόξενοι, οἵτινες ἡδέως εἰς τοὺς οἴκους ἑαυτῶν πάντοτε ὑπεδέξαντο τοὺς δούλους τοῦ θεοῦ ἄτερ ὑποκρίσεως. οἱ δὲ ἐπίσκοποι πάντοτε τοὺς ὑστερημένους καὶ τὰς χήρας τῇ διακονίᾳ ἑαυτῶν ἀδιαλείπτως ἐσκέπασαν καὶ ἁγνῶς ἀνεστράφησαν πάντοτε. [3]οὗτοι οὖν πάντες σκεπασθήσονται ὑπὸ τοῦ κυρίου διαπαντός. οἱ οὖν ταῦτα ἐργασάμενοι ἔνδοξοί εἰσι παρὰ τῷ θεῷ, καὶ ἤδη ὁ τόπος αὐτῶν μετὰ τῶν ἀγγέλων ἐστίν, ἐὰν ἐπιμείνωσιν ἕως τέλους λειτουργοῦντες τῷ κυρίῳ. XXVIII. ἐκ δὲ τοῦ ὄρους τοῦ ἑνδεκάτου, οὗ ἦσαν δένδρα καρπῶν πλήρη, ἄλλοις καὶ ἄλλοις καρποῖς κεκοσμημένα, οἱ πιστεύσαντες τοιοῦτοί εἰσιν· [2]οἱ παθόντες ὑπὲρ τοῦ ὀνόματος τοῦ υἱοῦ τοῦ θεοῦ, οἳ καὶ προθύμως ἔπαθον ἐξ ὅλης τῆς καρδίας καὶ παρέδωκαν τὰς ψυχὰς αὐτῶν'. [3]‚Διὰ τί οὖν', φημί, ‚κύριε, πάντα μὲν τὰ δένδρα καρποὺς ἔχει, τινὲς δὲ ἐξ αὐτῶν καρποὶ εὐειδέστεροί εἰσιν'; ‚Ἄκουε', φησίν· ‚ὅσοι ποτὲ ἔπαθον διὰ τὸ ὄνομα τοῦ κυρίου, ἔνδοξοί εἰσι παρὰ τῷ θεῷ, καὶ πάντων τούτων αἱ ἁμαρτίαι ἀφῃρέθησαν, ὅτι ἔπαθον διὰ τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ'. ‚Διὰ τί δὲ οἱ καρποὶ αὐτῶν ποικίλοι εἰσίν, τινὲς δὲ ὑπερέ-

Sim. IX, XXVI. 2. ταχεινὸς L. 5. [ἔνατον] L. (ubi una littera θ' periisse videtur) ed. pr. Ti. Hg [1], om. v. p. ae. Gh. F. 6. διαφθείρει L. (correctus pr. m.) Ti. Hg.[1] Gh. F., διαφθείρουσι L. (prius) ed. pr. 11. ἀπὸ L. ed. pr. Ti. Gh. F., μετὰ v. p. Hg.[1]
XXVIII. 14. ἐπίσκοποι καὶ φιλόξενοι L. v. (quidam episcopi, id est praesides ecclesiarum, alii vero hospitales em. Gh.) ed. pr. Ti. Gh. F., ἐπίσκοποι φιλόξενοι p. ae. Hg.[1], ἐπίσκοποι καὶ διάκονοι φιλόξενοι coniecit R. A. Lipsius (Zeitschr. f. wiss. Theol. 1866. p. 80. not. 3), qui etiam pro οἵτινες l. 15. proposuit οἱ μὲν et l. 16 ἐπίσκοποι delendum esse censuit. 16. οἱ δὲ ἐπίσκοποι L. v. ae. et edd., om. p.
XXVIII. 25. τοῦ υἱοῦ τοῦ θεοῦ L. et edd., τοῦ κυρίου v. p., eius ae. 28. εὐειδέστεροι v. p. ae. (bonos) Hg.[1] Gh. F., ἀηδέστεροι L. ed. pr. Ti. 29. τοῦ κυρίου v. p. (eius ae.) Hg.[1], om. L. ed. pr. Ti. Gh. F. 30. ἀφῃρέθησαν L. v. (abolita sunt) et edd., ἀφέθησαν p. ae. (cf. Gh.). 31 sq. Διὰ τί — ὑπερέχοντες; scripsi, et iterum interrogavi eum: Quare etc. et p., et dixi ei: Quare etc. ae., Quare v. Pastoris interrogationem edd. continuaverunt.

χοντες‘; ‚Ἄκουε· [4]ὅσοι‘, φησίν, ‚ἐπ᾽ ἐξουσίαν ἀχθέντες ἐξητάσθησαν καὶ οὐκ ἠρνήσαντο, ἀλλ᾽ ἔπαθον προθύμως, οὗτοι μᾶλλον ἐνδοξότεροί εἰσι παρὰ τῷ κυρίῳ, τούτων ὁ καρπός ἐστιν ὁ ὑπερέχων· ὅσοι δὲ δειλοὶ καὶ ἐν δισταγμῷ ἐγένοντο καὶ ἐλογίσαντο ἐν ταῖς καρδίαις αὐτῶν, πότερον ἀρνήσονται ἢ ὁμολογήσουσι, καὶ ἔπαθον, τούτων οἱ καρποὶ ἐλάττους εἰσίν, ὅτι ἀνέβη ἐπὶ τὴν καρδίαν αὐτῶν ἡ βουλὴ αὕτη· πονηρὰ γὰρ ἡ βουλὴ αὕτη ἵνα δοῦλος κύριον ἴδιον ἀρνήσηται. [5]βλέπετε οὖν ὑμεῖς οἱ ταῦτα βουλευόμενοι, μήποτε ἡ βουλὴ αὕτη διαμείνῃ ἐν ταῖς καρδίαις ὑμῶν, καὶ ἀποθανεῖσθε τῷ θεῷ. ὑμεῖς δὲ οἱ πάσχοντες ἕνεκεν τοῦ ὀνόματος δοξ[άζειν] ὀφείλετε τὸν θεόν, ὅτι ἀξίους ὑμᾶς ἡγήσατο ὁ θεὸς ἵνα τούτου τὸ ὄνομα βαστάζητε, καὶ πᾶσαι ὑμῶν αἱ ἁμαρτίαι ἰαθῶσιν. [6][οὐκοῦν μακα]ρίζετε ἑαυτούς· ἀλλὰ δοκεῖτε ἔργον μέγα πεποιηκέναι, ἐάν τις ὑμῶν διὰ τὸν θεὸν πάθῃ. ζωὴν ὑμῖν ὁ κύριος χαρίζεται καὶ οὐ νοεῖ[τε]· αἱ γὰρ ἁμαρτίαι ὑμῶν κατεβάρησαν, καὶ εἰ μὴ πεπόνθατε ἕνεκεν τοῦ ὀνόματος κυρίου, διὰ τὰς ἁμαρτίας ὑμῶν τεθνήκειτε [ἂν] τῷ θεῷ. [7]ταῦτα ὑμῖν λέγω τοῖς διστάζουσι περὶ ἀρνήσεως ἢ ὁμολογήσεως· ὁμολογεῖτε ὅτι κύριον ἔχετε, μήποτε ἀρνούμενοι [πα]ραδοθ[ήσεσθε] εἰς δεσμωτήριον. [8]εἰ τὰ ἔθνη τοὺς δούλους αὐτῶν κολάζουσιν, ἐάν τις ἀρνήσηται τὸν κύριον ἑαυτοῦ, τί δοκεῖτε ποιήσει ὁ κύριος ὑμῖν, ὃς [ἔχει] πάντων τὴν ἐξουσίαν; ἄρατε τὰς βουλὰς ταύτας ἀπὸ τῶν καρδιῶν ὑμῶν, ἵνα διαπαντὸς ζήσητε τῷ θεῷ.

XXIX. ἐκ δὲ τοῦ ὄρους τοῦ δωδεκάτου τοῦ λευκοῦ οἱ πιστεύσαντες τοιοῦτοί εἰσιν· ὡς νήπια βρέφη εἰσίν, οἷς οὐδεμία κακία ἀναβαίνει ἐπὶ τὴν καρδίαν, οὐδὲ [ἔγνω]σαν τί ἐστι πονηρία, ἀλλὰ πάντοτε ἐν νηπιότητι διέμειναν. [2]οἱ τοιοῦτοι οὖν ἀδιστάκτως κατοικήσουσιν ἐν τῇ βασιλείᾳ τοῦ θε[οῦ, ὅτι] ἐν οὐδενὶ πράγματι ἐμίαναν τὰς ἐντολὰς τοῦ θεοῦ, ἀλλὰ μετὰ νηπιότητος διέμειναν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν ἐν τῇ αὐτῇ φρονήσει. [3]ὅσοι οὖν διαμενεῖτε‘, φησί, ‚καὶ ἔ[σε]σθε ὡς τὰ βρέφη, κακίαν μὴ ἔχοντες, πάντων τῶν προειρημένων ἐνδοξότεροι ἔ[σε]σθε· πάντα γὰρ τὰ βρέφη ἔνδοξά ἐστι παρὰ τῷ θεῷ καὶ πρῶτα παρ᾽ αὐτῷ. μακάριοι οὖν ὑμεῖς, ὅσοι ἂν ἄρητε ἀφ᾽ ἑαυτῶν τὴν πονηρίαν, ἐνδύσησθε δὲ τὴν ἀκακίαν. πρῶτοι πάντων ζήσεσθε τῷ θεῷ.

Mt. XVIII, 3.

Sim. IX, XXVIII. 9. ἀποθανεῖσθε v. (moriemini optimi codd. sec. Gh.) Hg.[1] Gh. F., ἀποθανῆσθε L. ae. ed. pr. Ti. 9 sq. τῷ θεῷ v. p. ae. (Ang.) Hg.[2] Gh. F., ἐν τῷ θεῷ L. Ti. 10. τοῦ ὀνόματος L. v. et edd., domini add. p., eius ae. 11. τούτου L. (v. ae.) ed. pr. Ti. Hg.[1], τοῦτο p. Gh. F. 12. 13. [οὐκοῦν μακα]ρίζετε L. v. p. ae. Gh. F., [οὐκοῦν μᾶλλον μακα]ρίζετε ed. pr. Ti. Hg.[1] 14. διὰ τὸν θεὸν L. ae. et edd., om. v. p. 15. κατεβάρησαν L. ae. et edd., ὑμᾶς κατεβάρησαν v. p. (Ang.). 17. [ἂν] suppl. Gh. F., [πάντως] Ang., [ἂν ὑμεῖς] Ti. Hg.[1] 21. ὑμῖν v. p. ae. Gh. F., ἡμῶν L. (non superscr. ὑμῶν, cf. Gh.) L. ed. pr., ὑμῶν (Ang.) Ti. Hg.[1]

XXIX. 27. κατοικήσουσιν v. Hg.[1] (in notis) Gh. F., κατοικοῦσιν L. p. ed. pr. Ti. Hg.[1] 31. πάντων v. p. ae. Hg.[1] Gh. F., καὶ πάντων L. ed. pr. Ti.

4 [4]Μετὰ τὸ συντελέσαι αὐτὸν τὰς παραβολὰς τῶν ὀρέων λέγω αὐτῷ ,Κύριε, νῦν μοι δήλωσον περὶ τῶν λίθων τῶν ἠρμένων ἐκ τοῦ πεδίου καὶ εἰς τὴν οἰκοδομὴν τεθειμένων ἀντὶ τῶν λίθων τῶν ἠρμένων [ἐκ] τοῦ πύργου καὶ τῶν στρογγύλων τῶν τεθέντων εἰς τὴν οἰκοδομὴν καὶ τῶν ἔτι στρογγύλων ὄντων'.

1 XXX. ,Ἄκουε', φησί, ,καὶ περὶ τούτων πάντων. οἱ λίθοι οἱ ἐκ τοῦ [πεδί]ου ἠρμένοι καὶ τεθειμένοι εἰς τὴν οἰκοδομὴν τοῦ πύργου ἀντὶ τῶν ἀποβεβλημένων αἱ ῥίζαι εἰσὶ τοῦ ὄρους τοῦ λευκοῦ τού-2 του. [2]ἐπεὶ οὖν οἱ πιστεύσαντες ἐκ τοῦ ὄρους τοῦ λευκοῦ πάντες ἄκακοι εὑρέθησαν, ἐκέλευσεν ὁ κύριος τοῦ πύργου τούτους ἐκ [τῶν ῥιζῶν] τοῦ ὄρους τούτου βληθῆναι εἰς τὴν οἰκοδομὴν τοῦ πύργου· ἔγνω γάρ, ὅτι ἐὰν ἀπέλθωσιν εἰς τὴν οἰκοδομὴν τοῦ πύργου οἱ 3 λίθοι οὗτοι, διαμενοῦσι λαμπροί, καὶ οὐδεὶς αὐτῶν μελανήσει. [3]ε[ἰ] δὲ de ceteris montibus adiecisset, necesse habuisset rursus visitare eam turrim atque purgare. hi autem omnes candidi inventi sunt, qui crediderunt et qui credituri sunt; ex eodem enim genere 4 sunt. felix hoc genus, quia innocuum est. [4]audi nunc et de illis rotundis lapidibus et splendidis. hi omnes de hoc candido monte sunt. audi autem, quare rotundi sunt reperti. divitiae suae eos pusillum obscuraverunt a veritate atque obfuscaverunt a deo vero nunquam recesserunt, nec ullum verbum malum de ore processit eorum, sed omnis aequitas et virtus veritatis. 5 [5]horum ergo mentem cum vidisset domnius, posse eos veritati favere, bonos quoque permanere, iussit opes eorum circumcidi, non enim in totum eorum tolli, ut possint aliquid boni facere de eo quod eis relictum est, et vivent deo, quoniam de genere bono sunt. ideo ergo pusillum circumcisi et positi sunt in stru-

Sim. IX, XXX. 11. τῶν ῥιζῶν v. p. ae. (a radice) Hg.[1] Gh. F., om. L. ed. pr. Ti. 13. μελανήσει (cf. c. VIII, p. 130, 20) Gh. F., μελανίσει L. ed. pr. Ti. Hg.[1] | ε[ἰ] δὲ. reliqua desunt in codice L., restitui e versione vulgata edita a me et Gh. F., collatis palat. et aeth. 14. necesse (cf. p. ae.) Aug. Hg.[2] Gh. F., non necesse ceteri codd. et edd. 15. inventi (cf. p.) Hg.[2] Gh. F., iuvenes codd. et ceteri edd. v. 16. 17. ex eodem enim genere sunt v. ae. (idem genus sunt); ex corde enim credunt p. 17. nunc v. ae., inquit p. 18. candido v. p., om. ae. 19. audi autem — reperti v. p. (audi vero, quare rotundi sunt reperti); et dixi ei: quapropter rotundi inventi sunt? et dixit mihi: audi. ae. 19. 20. divitiae — obfuscaverunt v. p. (om. a veritate; obturbaverunt pro obscur. et obfusc.); etenim valde absconditerunt se ex structura ae. 21. sed a deo nunquam recesserunt v. p. (non pro nunquam), sed dominum non deserebant ae. 21. 22. de ore processit eorum Hg.[2], processit de ore eorum Hg.[1] — virtus veritatis v., virtus et veritas p., et iustum et verum ae. 23. vidisset v. ae., sciret p. 23. 24. posse eos — circumcidi v. Gh. F., et posse eos veritati favere Hg.[2] quod boni nati essent et possint boni esse p. Hg.[1], quod possent iusti fieri, quia beati erant e natura ipsorum, iussit eos removeri ab opibus suis ae. 25. non — tolli v., non in perpetuum tolli p. ae. (nec tamen prorsus removeri). 26. de eo quod eis relictum est v., de reliquias (l. reliquiis) de caetero p., ex reliquiis suis, quae relictae essent ae. | vivent v., viverent p. ae. | deo v. p., domino ae., 26. 27. de genere bono Hg.[2], ex bono genere Gh. F.

cturam turris huius. XXXI. ceteri vero qui adhuc rotundi 1
remanserunt neque aptati sunt in eam structuram, quia nondum
acceperunt sigillum, repositi sunt suo loco, valde enim rotundi
reperti sunt. [2]oportet autem circumcidi hoc seculum ab illis et 2
5 vanitates opum suarum, et tunc convenient in dei regnum. necesse est enim eos intrare in regnum dei; hoc enim genus innocuum benedixit dominus. ex hoc ergo genere non intercidet quisquam. etenim licet quis eorum temptatus a nequissimo diabolo aliquid deliquerit, cito recurret ad dominum suum. [3]felices 3
10 vos iudico omnes ego nuncius poenitentiae, quicunque innocentes estis sicut infantes, quoniam pars vestra bona est et honorata (Mt. XVIII, 3. XIX, 14.) apud deum. [4]dico autem omnibus vobis, quicunque sigillum hoc 4
[filii dei] accepistis: simplicitatem habere neque offensarum memores esse neque in malitia vestra permanere aut in memoria
15 offensarum amaritudinis, in unum quemque spiritum fieri et has malas scissuras remediare ac tollere a vobis, ut [si] dominus pecorum [venerit], gaudeat de his. [5]gaudebit autem, si omnia 5
invenerit sana, [nec ullum ex iis interciderit]. sin autem aliqua

13—16. Antiochus Hom. XCIV p. 1176: καλόν ἐστιν κρατεῖν τὴν ἁπλότητα καὶ τὴν ἀκακίαν καὶ εἶναι ὡς τὰ νήπια τὰ μὴ γινώσκοντα τὴν πονηρίαν τὴν ἀπολλύουσαν τὴν ζωὴν τῶν ἀνθρώπων, καὶ μὴ εἶναι μνησικάκους μήτε παρανόμους (l. μηδὲ παραμόνους) τῇ κακίᾳ, ἀλλ' ἀποθέσθαι τὰς κακίας καὶ τὰς πονηρίας καὶ τὰς πικρίας τὰς παρανόμους (l. παραμόνους) καὶ γενέσθαι ἓν πνεῦμα καὶ τὰ σχήματα (l. σχίσματα) τὰ πονηρὰ ἀνατρέψαι.

p. 131, 16—p. 132, 6. ut si dominus — rationem reddere. Antiochus Hom. CXXII p. 1228 sq.: ἵνα ὅταν ἔλθῃ ὁ κύριος τῶν προβάτων χαρῇ ἐπ' αὐτῷ καὶ ἐπὶ τοῖς προβάτοις εὐφρανθῇ. χαρήσεται δέ, ἐὰν πάντα ὑγιῆ εὑρεθῇ, καὶ μὴ διαπεπτωκότα τινὰ ἐξ αὐτῶν. ἐὰν δὲ εὑρεθῇ τινὰ ἐξ αὐτῶν διαπεπτωκότα, οὐαὶ τοῖς ποιμέσιν ἔσται. ἐὰν δὲ καὶ αὐτοὶ οἱ ποιμένες εὑρεθῶσιν διαπεπτωκότες, τί ἐροῦσιν τῷ δεσπότῃ τοῦ ποιμνίου; ὅτι ἀπὸ (l. ὑπὸ) τῶν προβάτων διέπεσαν; οὐ πιστευθήσονται· ἄπιστον γὰρ πρᾶγμά ἐστιν, ποιμένα ὑπὲρ (l. ὑπὸ) προβάτων παθεῖν τι. μᾶλλον δὲ κολασθήσονται διὰ τὸ ψεῦδος αὐτῶν. εἰδότες οὖν ὅτι λίαν δι' αὐτοὺς ἀποδοῦναι λόγον δεῖ.

Sim. IX, XXXI. 2—4. v. (permanserunt — apti sunt in ea structura. — in loco suo Hg.[2]) Gh. F. et ae., caeteri vero lapides rotundi qui nondum apti erant ad structuram turris, necdum enim acceperunt sigillum, et ideo repositi sunt in locum suum, quia valde rotundi sunt p. 4. ab illis v., illorum p. 5. dei regnum Gh. F., regno dei Hg.[2] 6 sq. innocuum v. ae. (simplici), om. p. 7. benedixit v. ae., probavit p. 9. recurret v. ae. (futur.), recurrit p. 10. omnes Gh. F., om. Hg.[2] 12. deum Gh. F., dominum Hg.[2] 13. filii dei p. ae., om. v. 13—17. simplicitatem — de his v. suppletus 1. 16. 17. e p. (ut si dominus pecorum venerit, gaudeat) ae. (quando venerit dominus ovium, gaudebit de vobis) Ant. 16. remediare ac Gh. F., permediare atque Hg.[2] 17. de his (cf. Ant.) v., de vobis ae., om. p. | gaudebit autem Ant. v. ae., om. p. 17. 18. si omnia invenerit sana Ant. v. ae., si pecora sua integra invenerit p. 18. nec ullum ex iis interciderit Ant. ae. ullus e vobis, om. v. p. 18 sq. sin autem aliqua ex his dissipata invenerit v. (cf. Ant.), si enim aut aliqua pecora a pastoribus dissipata p., om. ae.

6 ex his dissipata invenerit, vae erit pastoribus. [6]quodsi ipsi pastores dissipati reperti fuerint, quid respondebunt ei pro pecoribus? numquid dicent a pecoribus se vexatos? non credetur illis. incredibilis enim res est, pastorem pati posse a pecore; et magis punietur propter mendacium suum. et ego sum pastor et vali-
1 dissime oportet me de vobis reddere rationem. XXXII. re-
2 mediate ergo vos, dum adhuc turris aedificatur. [2]dominus habitat in viris amantibus pacem — ei enimvero pax cara est — a litigiosis vero et perditis malitiae longe abest. reddite igitur
3 ei spiritum integrum, sicut accepistis. [3]si enim dederis fulloni vestimentum novum integrum, idque integrum iterum vis recipere,

1—5. Homilia de aleatoribus ad calcem operum Cypriani ed. Hartel T. III. p. 93 sq.: dicit enim scriptura divina: Vae erit pastoribus. quod si ipsi pastores neglegentes reperti fuerint, quid respondebunt domino pro pecoribus? quid dicent? a pecoribus se esse vexatos? non creditur illis. incredibilis res est, pastorem aliquid posse pati a pecore. magis punietur propter mendacium suum.

p. 132, 7 sq. Antiochus Hom. XCIV p. 1176 sq. (v. ad p. 131, 13—16) pergit: ὅπως ὁ κύριος τῆς εἰρήνης κατοικήσῃ ἐν πᾶσιν, ἵνα καὶ τὸ πνεῦμα ὑγιὲς γένηται, ὥσπερ αὐτὸ ἔλαβεν ὁ ἄνθρωπος. ἐὰν γάρ τις κναφεῖ δώσῃ ἱμάτιον καινὸν καὶ ὑγιές, καὶ τοῦτο θέλει κομίσασθαι, ὁ δὲ κναφεὺς σχίσας τὸ ἱμάτιον ἀποδώσει· ἄρα λήψεται αὐτό; οὐχὶ μαχήσεται καὶ ὑβρίσει λέγων αὐτῷ Ἱμάτιόν σοι ὑγιὲς ἔδωκα· διὰ τί αὐτὸ ἔσχισας καὶ πεποίηκας ἄχρηστον; εἰ οὖν οὕτως περὶ ἱματίου λυπεῖταί τις καὶ μάχεται, ὅτι οὐκ ἀπείληφεν ὑγιὲς τὸ ἱμάτιον, τί δοκοῦμεν ἡμεῖς παθεῖν ὑπὸ τοῦ κυρίου, τὸ πνεῦμα λαβόντες ὑγιές, καὶ τοῦτο λυπήσαντες καὶ ἀχρειώσοντες (l. ἀχρειώσαντες), μὴ ἐν σεμνότητι πολιτευσάμενοι; καὶ εἰς οὐδεμίαν χρῆσιν δύναται εἶναι τῷ κυρίῳ ἑαυτοῦ; ἡ γὰρ χρῆσις τοῦ πνεύματος ὑφ' ἡμῶν κατεφθάρη.

Sim. IX, XXXII. 1. vae erit pastoribus Ant. Ps.-Cypr. v., vae vobis, pastores ae., om. p. 1. 2. quodsi — pro pecoribus v. (l. 2. ei pro Hg.[2], pro Gh. F.) Ps.-Cypr. Ant., aut ipsos pastores corruptos invenerit dominus, quid ei respondebitur? p., si autem ipsi pastores dicunt possessori gregis ae. 2. 3. numquid dicent, a pecoribus se vexatos? v. (ubi: pecore) coll. Ant. Ps.-Cypr. ae. (ab ovibus se prostratos esse), numquid pastores dicturi sunt, a pecoribus se esse vexatos p. 3. non credetur illis v. (creditur var. l.) Ant., Ps.-Cypr., non creditur ae., quod nec creditur illis p. 3. 4. incredibilis enim res est Ant. Ps.-Cypr. v., quia incredibile est p. ae. 4. et magis v., magis autem Ant. p. 5. suum Ps.-Cypr. v. (cf. Ant.), om. p. | et ego v. ae. (ego-quoque), ego p. 5 sq. validissime v. ae. (diligenter), Altissimo l. validissime p.

XXXII. 6. 7. remediate ergo vos p. (om. ergo) ae. (sanate igitur vosmet ipsos). 8. ei enimvero pax cara est v. (Gh.), quoniam pacem amavit p. ae. 9. a litigiosis vero et perditis malitiae longe abest v. ae. (eamque procul a scelestis removet), a viris autem iniquis perditisque malitiae recedite p. 9. 10. reddite— accepistis v. (cf. Ant.), et habebitis domini spiritum, sicut accepistis, integrum p., nam a domino accipietis Spiritum sanctum ae. 10. 11. si enim dederis — recipere Ant. v. (Gh.), nam si cum fulloni dederis vestimentum novum, utique vis eum denuo integrum recipere p., cum fulloni dederint vestem incolumem et salvam et solidam, et deinde velis ab eo repetere vestem ae.

fullo autem si scissum tibi reddat, recipies illud? nonne statim scandesces et eum convicio persequeris dicens: „Vestimentum integrum tibi dedi; quare scidisti illud et inutile redegisti? et propter scissuram, quam in eo fecisti, in usu esse non potest", 5 nonne haec omnia verba dices fulloni ergo et de scissura, quam in vestimento tuo fecerit? [4]si igitur tu doles de vestimento tuo 4 et quereris, quod non illud integrum recipias: quid putas dominum tibi facturum, qui spiritum integrum tibi dedit, et tu eum totum inutilem redegisti, ita ut in nullo usu esse possit domino 10 suo? inutilis enim esse coepit usus eius cum sit corruptus a te. nonne igitur domum spiritus eius propter hoc factum tuum afficiet [et tradet te morti]"? [5]„Plane", inquam, „omnes eos, 5 quoscunque invenerit in memoria offensarum permanere, afficiet. clementiam", inquit, „eius nolite calcare, sed potius honorificate 15 eum, quod tam patiens est ad delicta vestra et non est sicut vos. agite enim poenitentiam, utile est vobis. XXXIII. haec 1 omnia quae supra scripta sunt, ego pastor nuncius poenitentiae ostendi et locutus sum dei servis. si ergo credideritis et audieritis verba mea et ambulaveritis in his et correxeritis itinera

Sim. IX, XXXII. 1. 2. fullo autem si — dicens Ant., si autem fullo scissum vestimentum tibi reddat, numquid accipies illud, aut non potius irasceris et eum convitium (l. convitio) persequeris haec dicens ad eum p., fullo autem scissam vestem tibi reddiderit, accipies illam vestem a fullone? nonne litem habebis cum eo et conviciaberis ei et dices? ae. 3. 4. et propter — — non potest. Ant. v. (Gh.) ita ut propter scissuram, quam in eo fecisti, in usu esse non possit p., nec proderit iam quidquam, quia eam scidisti ae. 4. usu G. Aug. Cus. Gh. F., usum D. Vat. Lb. Vind. 1. 2. Hg.[2] 5. 6. nonne haec — fecerit v. (Gh.), nonne haec omnia dices fulloni de scissura, quam invenisti in vestimento tuo? p., nonne talia fulloni, quia scidit tibi vestem tuam? ae. om. Ant. 6—10. si igitur — domino suo? v. Ant., et cum tu sic moeres et litem habes, quia salvam non reddidit tibi vestem tuam, quid igitur putas facturum tibi dominum, qui salvum dedit tibi spiritum, tu autem eum fecisti prorsus inutilem domino eius? ae.; unde si tu de vestimento tristis efficeris et rixaris, quia non integrum recipis, quid putas dominum esse facturum, qui tibi spiritum dedit integrum, et tu illud (τὸ πνεῦμα) totum ita inutile fecisti, ut domino suo in usuesse non possit? p. 10. inutilis — a te v. (Ant.), quia usus ipsius spiritus a te inutilis esse coepit et corruptus, et inutilis est apud te, quia eum non conservasti ae. 11. 12. nonne igitur — morti v. nonne igitur dominum spiritus (alterum s erasum in Aug.) eius propter hoc factum tuum afficiet G. Aug. Vind.[1] Lb. [factum tuum hoc a facie] Vat. [a facie] nonne igitur dominum suum spiritui etc. Cus. nonne igitur dominus spiritum eius propter hoc factum tuum afficiet D. Vind.[2] Hg.[2], nonne igitur dominus spiritus eius propter hoc factum tuum [morte te] adficiet? Gh. F. *et tradet te morti* addidi e ceteris verss. quomodo dominus spiritus subito propter hoc factum quod fecisti te interficere debebat? ae., et ideo dominus ob hoc tuum factum tradet te morti p. 12.13. Plane, inquam — afficiet (κατεργάσεται) v.; et dixi ei: Utique interficiet omnes, quos invenerit portantes cupidinem ultionis, cum venerit ae. omnes enim tales puniet Dominus, quos invenerit in memoria delictorum esse p. 14—16. clementiam — est vobis v. (utilem vobis Gh. F.) ae., parum accurate p.

XXXIII. 18. dei servis v., vobis dei servis p., servo domini ae.

vestra, vivere poteritis. sin autem permanseritis in malitia et memoria offensarum, nullus ex huiusmodi vivet deo. haec omnia a me dicenda dicta sunt vobis."

2 [2]Ait mihi ille pastor: „Omnia a me interrogasti?" et dixi: „Ita, domine." „Quare ergo non interrogasti me de forma lapidum in structura repositorum, quod explevimus formas?" et
3 dixi: „Oblitus sum, domine." [3]„Audi nunc", inquit, „de illis: hi sunt, qui nunc mandata mea audierunt et ex totis praecordiis egerunt poenitentiam. cumque vidisset dominus bonam atque puram esse poenitentiam eorum, et posse eos in ea permanere, 1
iussit priora peccata eorum deleri. hae enim formae peccata erant eorum et exaequata sunt, ne apparerent."

[Similitudo X.]

1 I. Postquam perscripseram librum hunc, venit nuncius ille, qui me tradiderat huic pastori, in domum, in qua eram, et consedit supra lectum, et adstitit ad dexteram hic pastor. deinde 15
2 vocavit me et haec mihi dixit: [2]„Tradidi te", inquit, „et domum tuam huic pastori, ut ab eo protegi possis." „Ita", inquam, „domine." „Si vis ergo protegi", inquit, „ab omni vexatione et ab omni saevitia, successum autem habere in omni opere bono 20
atque verbo et omnem virtutem aequitatis, in mandatis his ingredere, quae dedi tibi, et poteris dominari omni nequitiae.
3 [3]custodienti enim tibi mandata haec subiecta erit omnis cupiditas et dulcedo seculi huius, successus vero in omni bono negotio te sequetur. maturitatem huius et modestiam suscipe in te et 25
dic omnibus, in magno honore esse eum et dignitate apud dominum et magnae potestatis eum praesidem esse et potentem in officio suo. huic soli per totum orbem poenitentiae potestas

Sim. IX, XXXIII. 3. a me dicenda G. Aug. Cus. Vind.[1] Gh. F., me dicente D. Vat. Lb. (docenti) Vind.[2] Hg.[2], verba p., locutus sum ae. 4. ille Vat. Hg.[2], ipse D. Gh. F., om. p. ae. 6. quod explevimus v., quos replevimus p., qui habent perfectionem ae. 11. 12. hae enim formae — apparerent v., et ita deleta sunt et aequata, ne apparerent postea. ἀμήν p., ille ipse vidit eos et correxit eos, ne apparerent ae.

Sim. X, I. 13. [Similitudo X.] v. p., om. ae.; re vera est epilogus. 18. Ita, inquam, domine v., et dixi ei: Ita, domine ae., et ego dixi ei: Ita faciat, domine p. 20. 21. in omni — aequitatis v., in omni bono et in omni virtute veritatis p., in omni opere bono et in omni verbo iustitiae bono ae. 22. quae dedi tibi, et poteris dominari omni nequitiae v. (Gh.), quae iniunxi tibi p., in mandatis eius, quae mandavi, et poteris invenire omnem iustitiam ae. 24. bono v. ae., om. p. 25. maturitatem (τὴν σεμνότητα cf. p. 135, 1.) huius — in te v., modestiam et venerationem huius honora p., et glorifica mansuetudinem eius et iustitiam ae.

tributa est. potensne tibi videtur esse? sed vos maturitatem huius et verecundiam, quam in vos habet, despicitis."

II. Dico ei: „Interroga ipsum, domine, ex quo in domo mea est, an aliquid extra ordinem fecerim, ex quo eum offenderim." 2 „Et ego", inquit, „scio nihil extra ordinem fecisse te neque esse facturum. et ideo haec loquor tecum, ut perseveres. bene enim de te hic apud me existimavit. tu autem ceteris haec verba dices, ut et illi, qui egerunt aut acturi sunt poenitentiam eadem quae tu sentiant, et hic apud me de his bene interpretetur, et ego apud dominum." 3 „Et ego", inquam „domine, omni homini indico magnalia domini; spero autem, omnes, qui iam antea peccaverunt, si haec audient, quod libenter acturi sunt poenitentiam vitam recuperantes." 4 „Permane ergo", inquit, „in hoc ministerio et consumma illud. quicunque autem mandata huius efficiunt, habebunt vitam, et hic apud dominum magnum honorem. quicunque vero huius mandata non servant, fugiunt a sua vita et aversantur illum. [hic autem apud deum habet honorem suum. quicunque ergo contemnent eum] nec mandata eius sequuntur, morti se tradunt, et unusquisque eorum reus erit sanguinis sui. tibi autem dico, ut servias mandatis his, et remedium [priorum] peccatorum habebis. III. misi autem tibi has virgines, ut habitent tecum. vidi enim eas affabiles tibi esse. habes ergo eas adiutrices, quo magis possis huius mandata servare. non potest enim fieri, ut sine his virginibus haec mandata serventur. video autem eas libenter esse tecum. sed ego praecipiam eis, ut omnino a domo tua non discedant. 2 tu tantum communda domum tuam; in munda enim domo libenter habitabunt. mundae enim sunt atque castae et industriae

Sim. X, II. 1. potensne v. (Gh.) p. (ae.), potestasne Dress. Hg.[2] 1. 2. maturitatem huius et modestiam v., modestiam verecundiamque eius p. mansuetudinem eius qui reveretur vos ae. 7. enim v., autem p. 8. aut acturi sunt v. ae., om. p. 9. de his v., om. p. | bene v. p., om. ae. 10. et ego v., ego p. 11. 12. ‚iam antea' scripsi, amant ea et G. Vind.[1], tam ante Lb., iam ante D. Vind.[2] Hg.[2], ante Vat., antea Gh. F. 12. si G. Vind.[1] Gh. F., et Hg.[2] audient Cus. D. Vind.[2] Hg.[2], audientes Vat. audiunt Aug., audient D. Vind.[1] Gh. F. | quod D. (etiam l. 11. ante: qui iam) Vat. Gh.[2], om. Gh. F. 16. 17. fugiunt a sua vita G. Aug. Cus. (sua vita) Vind.[1] Gh. F., fugant a se vitam D. Lb. Vat. Hg.[2], fugiunt a vita sua p., non habebunt vitam ae. 17. et aversantur illum Hg.[2] F., et adversus illum D. Lb. Vat. etc. Gh. 17. 18. hic autem — contemnent eum p. (dedi *habet* pro voc. *suum*), ae. (ille quidem honoratus est apud dominum, qui autem eum spernunt), om. v. Gh. 21. priorum p. ae. om. v.

III. 22. has virgines v. (ae.), etiam virgines has p. 22. 23. vidi enim eas affabiles tibi esse v., vidi enim eas tibi benevolas esse p., vidi enim te ab iis custoditum et adiutum ae. 23. 24. quo magis possis huius mandata servare v., ut possis custodire mandata haec p., ut posses observare mandata huius ae. 27. tantum v., tantum modo p., autem ae. | communda v. ae., para p.

et omnem habentes gratiam apud dominum. igitur si habuerint domum tuam puram, tecum permanebunt; sin autem pusillum aliquid inquinationis acciderit, protinus a domo tua recedent.
3 hae enim virgines nullam omnino diligunt inquinationem." [3]dico ei: „Spero me, domine, placiturum eis, ita ut in domo mea libenter habitent semper. et sicut hic, cui me tradidisti, nihil de
4 me queritur, ita neque illae [de me] querentur." [4]ait ad pastorem illum: „Video", inquit „servum dei velle vivere et custoditurum haec mandata et virgines has habitatione munda col-
5 locaturum." [5]haec cum dixisset, iterum pastori illi me tradidit. et vocavit eas virgines et dixit ad eas: „Quoniam video vos libenter in domo huius habitare, commendo eum vobis et domum eius, ut a domo eius non recedatis omnino." illae vero libenter haec verba audierunt.

1 IV. Ait deinde mihi [ille angelus]: „Viriliter in ministerio hoc conversare, omni homini indica magnalia domini, et habebis gratiam in hoc ministerio. quicunque ergo in his mandatis ambulaverit, vivet et felix erit in vita sua; quicunque vero neglexe-
2 rit [ea], non vivet et erit infelix in vita sua. [2]dic omnibus, ut non cessent, quicunque recte facere possunt. bona opera exercere utile est illis. dico autem, omnem hominem de incommodis eripi oportere. et is enim qui eget et in quotidiana vita patitur in-
3 commoda, in magno tormento est ac necessitate. [3]qui igitur huiusmodi animam eripit de necessitate, magnum gaudium sibi acquirit. is enim, qui huiusmodi vexatur incommodo, pari tormento cruciatur, atque torquet se qui in vinculo est. multi enim propter huiusmodi calamitates, cum eas sufferre non possunt, mortem sibi adducunt. qui novit igitur calamitatem huiusmodi hominis et non eripit eum, magnum peccatum admittit et fit
4 reus sanguinis eius. [4]facite igitur opera bona, quicunque accepistis [bonum] a domino, ne dum tardamini facere consummetur structura turris, [et vos de structura reprobemini. iam alia turris non aedificatur.] propter vos enim intermissum est opus aedificationis eius. nisi festinetis igitur facere recte, consummabitur turris, et excludemini."

Sim. X, III. 1. omnem p., omnes v., om. ae. 7. de me p. ae., om. v. 7. servum Dei velle vivere et v. ae. (vitam velle servum Domini et), om. p. 11. virgines c. p. ae., om. v.
IV. 15. ille angelus ae., ille pastor p., om. v. 18. in vita sua v. ae., om. p. 19. ea p. ae., om. v. | infelix v. ae., infestus p. 25. acquirit v., acquiret p. (cf. ae.) 26. vinculo Cus. D. Vat. Vind.[2] Hg.[2], vincula G. Aug. Gh. F. 28. qui novit igitur v. (ae.), lacuna in p. 31. bonum p., om. v. 32. 33. et vos—aedificatur p. (ae.), om. v. 33. enim v. ae., autem p. 34. festinetis igitur G. Aug. Cus. Vind.[1] Gh. F., igitur festinaveritis D. Vat. Vind.[2] Hg.[2] 35. et excludemini v. p., cum bonis vestris add. ae.

[5]Postquam vero locutus est mecum, surrexit de lecto et apprehenso pastore et virginibus abiit, dicens autem mihi, remissurum se pastorem illum et virgines in domum meam. [Amen.] 5

Sim. X, IV. 4. Amen D. Vat. (add.: explicit liber pastoris discipuli beati pauli apostoli. deo gratias) Vind.[2], ἀμήν p., in saecula saeculorum. Amen ae.

ADDITAMENTUM AD HERMAE PASTOREM.

Catalogus Felicianus (sec. VI. ineunte) in vita Pii:

Sub huius episcopatu frater ipsius Hermas librum scripsit, in quo mandatum continetur, quod praecepit angelus domini, cum venit ad eum in habitu pastoris et praecepit ei, ut sanctum pascha die dominica celebraretur.

Pii I. episcopi Romani epistola (Mansi coll. conc. T. I. p. 95. 672):

Hermae angelus domini in habitu pastoris apparuit et praecepit ei, ut pascha die dominico ab omnibus celebraretur.

Liber pontificalis in vita Pii fere eadem exhibet.

ADNOTATIONES.

